Ἔτι γὲ μὴν σὺν (τούτοις οὐδεὶς) τῶν ἀποστελλομένων ἐκεῖσε (πατριαρχικῶν ἐξάρχων γενήσεταί τις κατατριβὴ τῇ τοιαύτῃ σεβασμίᾳ Μονῇ οὔτ' ἐνόχλησις οὐδεμία) οὔτε ἐπιβαλλοῦσιν αὐτῇ ἢ τοῖς προσοῦσιν αὐτῇ, ὥστε κατατριβὴν ὅλως καὶ ζημίαν τινὰ προξενεῖν ἐν αὐτοῖς. Πατριαρχικὴ μνήμη καὶ (ἔστι καὶ ἔσται καί... ἐπ' ἐκκλησιαστικὴν ἔνθεσιν, τάξιν. Ὑπὸ ἀρχιερατι)κὴν πνευματικὴν (ἐπι)στασίαν ταττομένη ἕξ(ει μὲν ἐπι)στασείαν, ὡς εἴρηται, πατριαρχικὴν καὶ μνήμη συνήθης τοῦ (πατριαρχικοῦ ὀνόματος ἐν ταῖς κατ' αὐτὴν ἱεροτελεστίαις ἔσεται(1) καὶ πνευματικὴ ἀνάκρισις ἐν πράγμασι κινουμένοις, ἐπικρίσεως καὶ ἐπισκέψεως ἀξίοις). Οὐ μὴν τὰ τοιαῦτα ἐξετάζειν καὶ (ἐπικρί)νειν· καὶ ⟨γὰρ⟩ διεύλυτον τὴν ἄδειαν ἕξουσιν ἐν αὐτῇ οἱ εἰρημένοι πατριαρχικοὶ (ἔξαρχοι)· ἀλλ' ἡνίκα τι τοιοῦτον ἐπισυμβαίνει τῇ τοιαύτῃ Μο(νῇ διακρίσεως πνευματικῆς καὶ ἐξετάσεως ἀρχῆς, εἰς αὐτὸν δὴ(;) τὸν εὑρισκόμενον τηνικαῦτα) ἁγιώτατον πατριάρχην οἰκουμενικὸν εἰς τὴν ἁγιωτάτην μεγάλην τοῦ Θεοῦ ἐκκλησίαν καταντήσει τὰ τῆς (τοιαύτης ὑποθέ)σεως καὶ παρ' αὐτοῦ ἐξετασθήσεται καὶ τὴν ὀφειλομένην (ἕξει καλὴν κατάστασιν κατὰ τὴν τῶν θείων καὶ ἱερῶν νόμων τάξιν καὶ πα...υσιν.

Ἀλλὰ μὴν καὶ ὁ ἡγουμενεύων αὐτῆς) ἀδιάσειστος ὀφείλει καὶ ἀνενόχλητος διεξάγειν τὰ κατ' αὐτήν. (Καὶ τοῦτο πάντως) ἔσται τὸ ἀνενόχλητον καὶ ἀπρόσκοπτον δι' ὅλης αὐτοῦ τῆς (ζωῆς καὶ τὴν καλὴν ταύτην ἐργασίαν καὶ διεξαγωγὴν τῆς τοιαύτης σεβασμίας Μονῆς οὐδεὶς τῶν ἁπάντων ἀπ' αὐτῆς προσαλεύσει καὶ ἀνατρέψει. Ἀλλὰ γὰρ οὐκ ὀφείλει μεθ)ίστασθαι τῆς ἡγουμενίας καὶ τῆς τοιαύτης πνευματικῆς προστασίας, (εἰ μὴ πάντως ἀναφανείη) προδήλως κατεγνωσμένος καὶ ταύτης ἀνάξιος. Αὐτὴν γὲ μὴν (τὴν πνευματικὴν προστασίαν, τῆς τοιαύτης σεβασμίας Μονῆς τὴν ἡγουμενίαν, οὕτως ἀναδέξεται ὁ μέλλων ἐπὶ ταύτης γενήσεσθαι· ἐκλεχθίσεται παρὰ τῶν ἐν αὐτῇ) πάντων τῶν ἀσκουμένων μοναχῶν ὁ δοκιμαζόμενος ἄξιος· (εἶτι μετά τινων) μοναχῶν ἀναδραμεῖται ἐνταῦθα εἰς (τὴν θεομεγάλυντοι θεοφύλακτον καὶ θεοδόξαστον Κωνσταντινούπολιν καὶ κατὰ τὸ εἰκὸ

(1) Τὸ κείμ. ἐσεῖται.

παραδεχθείη παρὰ τοῦ τηνικαῦτα ἁγιωτάτου) πατριάρχου. Οὕτω δὴ παρ' αὐτοῦ καὶ τὴν σφραγῖδα δέξεται τῆς ἡ(γουμενίας καὶ) τὴν πνευματικήν, θείαν καὶ ἔννομον τάξιν (καὶ συνήθειαν. Καὶ λοιπὸν ἐξῆς ἐγχειρισθήσεται αὐτῷ παρὰ τῆς Βασιλείας μου καὶ τοῦτο κατὰ τὴν κρατοῦσαν συνήθειαν, δικανίκιον (1), σύμβολον) τοῦτο παριστῶν εἰς ἐπιδήλωσιν πάντως, ὡς ἡ Μονὴ β(ασιλικὴ καὶ ταῖς ἄλλαις, συναριθμεῖται βασιλικαῖς Μοναῖς καὶ καθόλου γε ὀφείλει καὶ τιμὴν καὶ ἐλευθερίαν καὶ ἀνενόχλησιν πάντως ἐπαπολαύειν αὐτήν. Εἰς γὰρ τὴν περὶ αὐτῶν ὅλων ὡς) διαλαμβάνει, βεβαίωσιν καὶ ἀσφάλειαν (καὶ διαμονὴν ἀσάλευτον ἐπεχορηγήθη ὁ παρὼν χρυσόβουλλος) ΛΟΓΟΣ τῆς βασιλείας μου ἀπολυθεὶς κατὰ μῆνα Ἀπρίλιον (τῆς νῦν τρεχούσης . . . ἰνδικ)τιόνος τοῦ ἑξάκις χιλιοστοῦ ἑπτακοσιοστοῦ . . . . . ἔτους, ἐν ᾧ καὶ τὸ Ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον (ὑποσημήνατο Κράτος. † Μιχαὴλ ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτο)κράτωρ Ρωμαίων ὁ Παλαιολόγος. †

Β'.

Οὐδὲν οὐδενὶ τοσοῦτον κόσμου καὶ σπουδῆς μετέχειν ἔδοξεν ὡς τῇ Βασιλείᾳ Μου καὶ δι' εὐχῶν καὶ διὰ . . . πάσης γίνεται . . . (τῷ ἁγίῳ μου) αὐθέντι καὶ βασιλεῖ τῷ πατρὶ Αὐτῆς ταὐτὰ φρονεῖν, ταὐτὰ φθέγγεσθαι τῶν αὐτῶν καὶ βουλευμάτων καὶ θεσπισμάτων ἀπρὶξ ἔχεσθαι, σὺν αἰδοῖ καὶ φίλτρῳ (;) γίνεσθαι (;), ἣν ὥσπερ μία τις συμφωνία καὶ κρᾶσις μουσικὴ χηρὶ Θεοῦ καὶ δυνάμει καλῶς ἡρμοσμένη καὶ διὰ βίου παντὸς κινουμένη καὶ μήτε (;) καὶ ἐμμελὴς Βασιλεία Ἡμῶν ἄγοιτε (;) βέλτιστον ἡμέρως (2) τε καὶ ὁμαλῶς λεαίνουσα τὰ τοῦ εὐσεβοῦς τε καὶ χριστιανικοῦ πληρώματος καὶ πολιτεύματα καὶ ἠθικὸν βίον καὶ πράγματα (;), καὶ μηδ' εἰκῇ μηδ' ἀτάκτως μηδ' ἀμούσως, ⟨ὡς ἔπος ;⟩ εἰπεῖν, καὶ ἀμελῶς (3) εἴη φερόμενον, ἀλλ' εὐδοκία μία καὶ εἰρ ἄμαχος μία Θεοῦ παντοκράτορος διὰ μιᾶς καὶ γνώμης καὶ γλώτ-

(1) Ὅρ, Δουκαγγίου. Glossar. med. et inf. Grec. ἐν λέξει.
(2) Τὸ κείμενον *ἡμέρας*.
(3) Τὸ κείμ. *ἐμμελῶς*.

της συμφώνου τῆς Βασιλείας Ἡμῶν τῶν κοινῶν καὶ πόλεων καὶ πραγμάτων καὶ ἀνθρώπων ἀντέχοιτό τε καὶ συναίροιτο προϊσταμένης τῆς παναχράντου καὶ παναμώμου δεσποίνης καὶ Θεομήτωρ(ος). Οὕτω μὲν οὖν τῇ Βασιλείᾳ Μου οὔτε φιλοτιμότερον οὔτε θεοφιλέστερον (1) οὔτ' ἄλλως ἥδιον καὶ σεμνότερον, οὔτ' ἔστιν οὔτε δέδοκται ἀλλὰ διὰ πάντων συμφωνεῖν(2) τε καὶ διερευνᾶσθαι καὶ ζητεῖν ὅσον οἷόν τε αἰδῶ τὴν προσήκουσαν καὶ φίλτρου περιουσίαν καὶ θεραπείας ὁδὸν ἅπασαν εἰσφέρειν, γνώμης τε καὶ φρονήματος καὶ ἐπιταγμάτων τῶν αὐτ(ῶν) ἔχεσθαι τῷ ἁγίῳ μου αὐθέντῃ καὶ βασιλεῖ τῷ πατρὶ τῆς Βασιλείας Μου πάντα θεοσεβῶς καὶ φιλοτίμως, πάντα εὐεργετικῶς, πάντα κοινοφελῶς πραγματευομένῳ καὶ πράττοντι. Ὅτι δὲ καὶ ἀνδρῶν τὸν τεθνεῶτα βίον ἑλομένων (3) καὶ γῆς ἀποκεχωρηκότων ἔτι ζώντων καὶ τιμώντων (4) ἀρετήν, καὶ Θεῷ προσῳκειωμένων καὶ σηνημμένων αἰτήσεις ἡμέρως δέχεσθαι καὶ εἰς πέρας ἄγειν, θεοφιλέστατον ὁμοῦ καὶ βασιλικώτατον ἂν εἴη, τίς ἂν ἀμφισβητήσειε ἢ τίς οὐκ ἐφόδιον(5) ὁμολογήσειε; Καθ' ἅπαξ μὲν γὰρ εἰπεῖν φιλοτιμίαι πᾶσαι καὶ εὐεργεσίαι καὶ διαδόσεις, χάριτες καὶ δωρεαὶ βασιλεῦσιν οἰκειότατα· οὐ γὰρ ἐξίσταται (τι, οὐδέ ;) . . . φροῦνται καὶ διάμ. . . . ἀλλὰ παρέχονται, πρὶν ἑτέροις χαρίσασθαι, διπλῆν τινα καὶ πολλαπλῆν καρποῦνται τὴν κτῆσιν χαρισάμενοι, οἷς εἰκὸς χαρίσασθαι, καὶ οὕτω διδόντες προσλαμβάνουσι δόξης τε καὶ φιλοτιμίας κέρδος ἀποκομιζόμενοι καὶ κατὰ τοὺς γεωργοῦντας πλείους τοὺς καρποὺς ἀπολαμβάνοντες. Καὶ γὰρ οὕτω ἔχει τὰ κοινὰ καὶ μεγάλα φιλοτεχνήματα τοῦ διακόσμου τούτου, χειρὶ πλουσιωτάτῃ Θεοῦ δημιουργούμενα· καταπέμπων μὲν ἥλιος ἑκάστοτε τὴν ἀκτῖνα οὐδέποτ' ἐφωράθη ἐλάττω ταύτην ἀφιείς, γῆ δὲ ταύτην δεχομένη καὶ τὰς παρ' αὐτῆς ἀνίσχουσα γονὰς εἰς δένδρα μὲν ἔθηκε φυτῶν ὥραν καὶ καρπῶν ἁπάντων φοράν, οὔτε τοῦ μεγέθους οὔτε τῆς δυνάμεως πενίαν τινὰ ᾔσθετο ἐκ τῆς οὕτω δαψιλοῦς χορηγίας ἐπιχωριάσασαν αὐτῇ. Οὔκουν οὐδὲ βασιλέως χεὶρ διὰ πάντα τὴν παρ' αὐτῆς ἀκτῖνα, δαψιλῆ Θεοῦ πέμποντος, ἀφιεῖσα (πᾶ)σι τοῖς ἐν

(1) Τὸ κείμ. *φιλοτιμοτέρου. θεοφιλεστέρου.*
(2) Τὸ κείμ. *συνεῖν.*
(3) Τὸ κείμ. *ἑλόμενος.*
(4) Ὅρ. πίν. ἀρ. 23.
(5) Ὅρ. πίν. ἀρ. 24.

χρείᾳ καθισταμένοις, οὐκ ἄν ποτε ἀπορήσειεν. Οὕτω μὲν οὖν ἅπασι ἅπασι τοῖς ἀρχομένοις καὶ δεδομένοις δῶρα καὶ χάριτας ἀφικνεῖσθαι παρὰ τῶν ἐκ Θεοῦ βασιλέων καὶ φιλοτιμίαν ἔχει καὶ κέρδος μέγιστον, μάλιστα δὲ ὅταν οἱ τὰς αἰτήσεις ποιούμενοι, Θεῷ τὸν αὐτῶν βίον καθιερώσαντες, ἀντάλλαγμα καὶ ἑαυτοῖς καὶ τοῖς ἄλλοις ἅπασι τὸν ἐκεῖθεν τῆς χρηστότητος πλοῦτον κομίζονταί τε καὶ διαχέωσιν. Οὐδὲ γὰρ εὔλογον τοῖς μὲν ἀϋπνοτάτοις ὄμμασι πρὸς τὸν παντόπτην ὀφθαλμόν τε καὶ φύλακα βλέποντα καὶ βασιλεῦσι καὶ πᾶσιν ἀνθρώποις ἵλεων Θεὸν ἀπεργάζεσθαι, τοὺς δὲ πρὸς τὰς αὐτῶν αἰτήσεις ἐχομένους τοῦ προσήκοντος καὶ ἀναγκαίου μὴ φιληκόως μηδὲ προσηνῶς ἔχειν· καὶ Θεοῦ μὲν ὦτα συμπαθῆ καὶ φιλάνθρωπα πρὸς τὰς αὐτῶν ἀνοίγνυσθαι φωνάς, βασιλεύων δὲ ἀκοαῖς θύρας ἐπιτιθέναι πρὸς τοὺς τούτων προσιόντας ἱκετηρίαις (1).

Ἐντεῦθεν καὶ ὁ ἅγιός μου αὐθέντης καὶ βασιλεὺς ὁ πατὴρ τῆς Βασιλείας Μου, ἀρετὴν εἴπερ τις τῶν προτέρων βασιλέων καὶ πάντων μάλιστ' ἀνθρώπων καὶ σεβόμενος καὶ τιμῶν, ἔφθασε μὲν ἐπὶ πολλοῖς προστάγμασί τε καὶ διαφόροις δικαιώμασι καὶ χρυσοβού(λλου) λόγου ἐπιβραβεύσει ἐπικυροῦν ταῦτα τῇ κατὰ τὸν Μυζηθρᾶν διακειμένῃ σεβασμίᾳ Μονῇ τῆς Βασιλείας Ἡμῶν καὶ ἐπ' ὀνόματι τετιμημένῃ τῆς πανυπεράγνου δεσποίνης καὶ Θεομήτορος τῆς Ὁδηγητρίας καὶ ἐπικεκλημένῃ (2) τοῦ Βροντοχίου διὰ τὴν ἀρετήν τε καὶ τὴν κατὰ Θεὸν πολιτείαν τοῦ ἀνεγείραντος καὶ συστησαμένου ταύτην τιμιωτάτου μεγάλου πρωτοσυγκέλλου τῆς Πελοποννήσου κυροῦ Παχωμίου. Ἐπεὶ δὲ ὁ τοιοῦτος καὶ τὴν Βασιλείαν μου κατὰ τὸ παρὸν ᾐτήσατο καὶ παρεκλήτευεν, ἵνα τύχῃ καὶ παρ' αὐτῆς χρυσοβούλλου συμφωνοῦντος καὶ συνεπιστηρίζοντος τὴν εὐδοκίαν καὶ τὸν ὁρισμὸν τοῦ χρυσοβούλλου λόγου τοῦ ἁγίου μ(ου) αὐθέντου καὶ βασιλέως τοῦ πατρὸς τῆς Βασιλείας Μου, τὴν τοιαύτην αἴτησιν καὶ παράκλησιν αὐτοῦ τοῦ τιμιωτάτου μεγάλου πρωτοσυγκέλλου τῆς Πελοποννήσου κυροῦ Παχωμίου, ἑτοίμως προσδεξαμένη ἡ βασιλεία μου τὸ μὲν διὰ τὴν ἐνοῦσαν αὐτῷ πνευματικὴν πολιτείαν καὶ ἀγωγὴν καὶ ἀσκητικὴν ἐν τοῖς κατὰ Θεὸν ζῆν ἑλομένοις εὐδοκίμησιν καὶ τὸν (3)

(1) Τὸ χείμ. *προσιοῦσι ἱκετηρίας*.
(2) Τὸ χείμ. *ἐπικεκλημένης*.
(3) Τὸ χείμ. *τῶν*.

τῶν κοινῶν πραγμάτων ζῆλον καὶ καθαρὰν καὶ διάπυρον εὔνοιαν, ἣν τρέφει πρὸς τὴν Βασιλείαν Μου, μάλιστα δὲ καὶ διὰ πάντων σὺν ἄλλοις τε καὶ συμφωνεῖν καὶ συμφθέγγεσθαι καὶ ἐπὶ τοῖς αὐτοῖς εὐδοκιμεῖν βουλομένη καὶ σπεύδουσα πάντα τρόπον ἡ Βασιλεία Μου τῷ ἁγίῳ μου αὐθέντῃ καὶ βασιλεῖ τῷ πατρὶ Αὐτῆς(;), τὸν παρόντα χρυσόβουλλον.⟨ΛΟΓΟΝ⟩ ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτῷ, δι' οὗ προστάσσει καὶ διορίζεται καὶ ἡ Βασιλεία Μου, κατὰ τὴν περίληψιν τῶν προσόντων τῇ διαληφθείσῃ σεβασμίᾳ Μονῇ τῆς Βασιλείας Ἡμῶν(;) τῇ εἰς ὄνομα τιμωμένῃ τῆς πανυπεράγνου δεσποίνης καὶ Θεομήτορος τῆς Ὁδηγητρίας καὶ ἐπικεκλημένῃ τοῦ Βροντοχίου χρυσοβούλλων λόγων τοῦ ἁγίου μου αὐθέντου καὶ βασιλέως τοῦ πατρὸς Αὐτῆς, ἐλευθέραν παντάπασιν εἶναι καὶ ἀνενόχλητον μετὰ πάντων τῶν προσκεκυρωμένων αὐτῇ μετοχίων καὶ κτημάτων, ἃ καὶ ἔχουσι κατὰ μέρος οὕτω· Ζευγηλατίον ὅπερ ἐστὶ πλησίον τοῦ ἐκεῖσε ποταμοῦ τοῦ λεγομένου Βρυσιώτου ὅσον καὶ οἷόν ἐστι μετὰ τοῦ ἐν αὐτῷ διοφθάλμου μυλῶνος. Εἰς τὴν τοποθεσίαν τὴν λεγομένην τῶν Καλυβιτῶν γῆ μοδίων ἑκατὸν πεντήκοντα. Ἀμπελῶνες, δένδρα ἐλαϊκὰ καὶ ἕτερα ὀπωροφόρα διάφορα. Πάροικοι ἐν τῇ περιοχῇ τοῦ Μυζηθρᾶ ἐν διαφόροις τόποις. Μυλὼν διόφθαλμος ⟨καὶ⟩ ἀγρίδιον τὸ εἰς τὸν τόπον καλούμενον τοῦ Φιλητοῦ. Τὸ λεγόμενον τὸ Δραγοβιαστὸν ὅσον καὶ οἷόν ἐστι μετὰ τῶν ἐν αὐτῷ προσκαθημένων. Πάροικοι τέσσαρες(1) εἰς τὴν Δέλβιναν. Μονύδριον εἰς ὄνομα τιμώμενον τοῦ ἁγίου Δημητρίου καὶ ἐπικεκλημένον τοῦ Πελάτου μετὰ τῶν ἐν αὐτῷ προ(σ)καθημένων. Μετόχιον εἰς ὄνομα τιμώμενον τῆς ὑπεραγ(ίας) Θεοτ(όκου) καὶ ἐπιλεγόμενον Κολογωνία μετὰ τῶν ἐν αὐτῷ παροίκων, τῶν ἐκεῖσε χωραφίων καὶ λοιπῶν δικ(αίων), ἔτι δὲ καὶ τοῦ αὐλακίου ὕδατος, οὗπερ λαμβάνει τὸ μέρος τούτου. (Μετόχιον;) εἰς ὄνομα τιμώμενον τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου καὶ ἐπικεκλημένου τοῦ Καυσαλοῦ μετὰ τῶν ἐν αὐτῷ παροίκων, ἀμπελίων, χωραφίων, δένδρων ἐλαϊκῶν, ἕτερα καρποφόρα. Μυλῶνα ἕτερον (ἐγγύς;) τοῦ ἐκεῖσε ποταμοῦ τοῦ Γεφυράτου δι' ἀρδείαν καὶ τοιούτων χωραφίων. Ἀγρίδιον τὸ καλούμενον . . . . . . ατοβα μετὰ τῶν ἐν αὐτῷ προσκαθημένων. Ἕτερον μετόχιον περὶ τὸ Ἕλος τὸ εἰς ὄνομα -μώμενον τοῦ Ἁγίου Βασιλείου μετὰ τῶν ἐν αὐτῷ (παροίκων. Χω -

(1) Ὅρ. πίν. ἀρ. 25.

φια καὶ μ)υλῶν(ας) εἰς τὸ Μοχλί. Ἕτερον μετόχιον εἰς ὄνομα τιμώμενον τοῦ ἁγίου Θεοδώρου καὶ ἐπιλεγόμενον τοῦ Βροντοχίου μετὰ τῶν προσόντων αὐτῷ χωραφίων, παροίκων, ἔτι δὲ καὶ μυλῶνος. Ἕτερον μετόχιον εἰς ὄνομα τιμώμενον τοῦ . . . . καὶ ἐπιλε)γόμενον τοῦ Μολόχου(;) μ(ετὰ) τῶν ἐν αὐτῷ προσκαθημένων καὶ ὧν κέκτηται χωραφίων. Καὶ ἕτερον μονύδριον εἰς τὴν Ἀνδροῦσαν εἰς ὄνομα τιμώμενον τῶν τιμίων ἀρχιστρατήγων τῶν ἄνω δυνάμεων καὶ ἐπιλεγόμενον τὸ Λιγύδη μετὰ (τῶν ἐν αὐτῷ προσκαθημένων) . . . . . τὰ πάντα πάσης ἀνώτερα (1) ἐπηρείας καὶ πάσης ὀχλήσεως καὶ παντὸς διασεισμοῦ διατηρηθήσεται τῇ ἰσχύϊ καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλου ΛΟΓΟΥ τῆς Βασιλείας Μου καὶ οὔτε παρὰ τῶν κατὰ καιροὺς εὑρισκομένων εἰς καθολικὴν ἐνοχὴν τοῦ κεφαλατικίου τῆς κατὰ τὴν Πελοπόννησον ἁπάσης (χώ)ρας καὶ τῶν κάστρων τῆς Βασιλείας Μου οὔτε παρά τινος ἄλλου, ἀλλ' οὐ(δὲ) τῶν ἐν ταύτῃ μερικῶς κατὰ τόπους κεφαλατικευόντων οὔτε παρὰ τοῦ τὴν χρηματικὴν καθολικὴν ἐνοχὴν τῶν ἐκεῖσε δημοσίᾳ καὶ δουλεί(ᾳ;) κατέχοντος. . . (οὔτε) παρά τινος τῶν ὑπο . . . . . οὔτε μὴν καὶ παρὰ τῶν (2) εἰς τὸ ἑξῆς μελλόν(των) ἀπογραφικὴν δουλείαν ἐν τῇ τοιαύτῃ χώρᾳ ποιήσασθαι, ὑποστήσεται ἡ τοιαύτη Μονὴ ἢ τὰ προσόν(τα αὐτῇ) μετόχια, κτήματά τε καὶ πράγματα, οἱανδή τινα ἀφαίρεσιν, ἐπήρειαν, κατατριβήν, ὅλως ὄχλησιν, ἐπίθεσιν· παντελῶς γὰρ ταύτην καὶ τὰ προσόντα αὐτῇ βούλεται καὶ ἡ Βασιλεία Μου ἀνενόχλητα εἶναι, κατὰ πάντα ἀδιάσειστά τε καὶ ἀναπόσπαστα· ἔτι δὲ καὶ ἀνώτερα ἀγγαρείας δημοσία(ς) καὶ ὑπηρετικῶν συζητήσεων· ἤγουν δόσεως, ἐννομίου καὶ καταθέσεως βρωσίμων καὶ ποσίμων εἰδῶν, (ἀλλὰ) δὴ καὶ ἑτέρας πράξεως κατὰ χώρας ἐπερχο(μένης), καὶ οὐδεὶς τῶν ἀνωτέρω εἰρημένων ἢ τῶν ἄλλων πάντων ἕξει ἐπ' ἀδείας ἀπαιτεῖν ἀπ' αὐτῆς καὶ τῶν προσόντων αὐτῇ τοιοῦτό τι ἢ ἄλλο τι τῶν ἁπάντων εἶδος προξενοῦν ὅλως ζημίαν ἢ κατατριβὴν αὐτῇ . . . . (κατ)αναγκάζειν καὶ καθέλκειν εἰς ἀγγαρείαν τὸ μέρος αὐτῆς. Ἐπειδὴ ὁ τοιοῦτον ἐπαγαγεῖν καὶ ἐπηρεάσαι βουληθείς(3) ποτε τὸν ἑξῆς (χρόνον) τῇ εἰρημένῃ μονῇ καὶ τοῖς προσοῦσιν αὐτῇ, ὡς ἀθετητὴς καὶ τῆς παρούσης τῆς Βασιλείας Μου προσταγῆς καὶ

(1) Τὸ κείμ. *ἀνωτέρας*.
(2) Τὸ κείμ. *τούτων*.
(3) Τὸ κείμ. *ἐπηρεάσαι καὶ βουληθείς*.

θελήσεως καταδικασθήσεται . . . . Πρὸς τούτοις ὀφείλουσι κατέχειν οἱ ἐν αὐτῇ μοναχοὶ ἀνενοχλήτως καὶ ἀδιασείστως, ἔτι δὲ καὶ ἀναποσπάστως ὅσους δυνηθῶσι προσαγαγεῖν ἀπὸ τοῦ μέρους τῆς Λατίνης καὶ προσκαθίσαι εἰς τὸν τόπον αὐτῶν (1), ἀλλὰ δικαίως ὅσον φθάσωσι συστήσασθαι καὶ βελτιῶσαι ἐπὶ τοῖς εἰρημένοις κτήμασι αὐτῶν. Ἔτι (δὲ καὶ) τελείως αὐτὴν ἐλευθέραν βο(ύλεται καὶ) ἀνεπηρέαστον ἡ Βασιλεία Μου διατηρεῖσθαι καταλογιζομένη ὡς τῆς Βασιλείας Ἡμῶν μόνης καὶ τῆς ἐντεῦθεν κυβερνήσεως τῆς προσηκούσης ἀξιοῦνται. Ἀλλὰ μὴν σὺν τούτοις οὐδεὶς τῶν ἀποστελλομένων ἐκεῖσε πατριαρχικῶν ἐξάρχων γενήσεταί τις κατατριβὴ τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ (οὔτ' ἐνόχλη)σις οὐδεμία οὔτ' ἐπιβαλοῦσιν αὐτῇ ἢ τοῖς προσοῦσιν αὐτῇ, ὥστε κατατριβὴν ὅλως καὶ ζημίαν τινὰ προξενεῖν ἐν αὐτοῖς. Πατριαρχικὴ μνήμη(2) καὶ ἔστι καὶ ἔσται καὶ . . . . . . ἐπ' ἐκκλησιαστικὴν ἔνθεσιν, τάξιν, ὑπὸ ἀρχιερατικὴν πνευματικὴν ἐπιστασίαν ταττομένη ἕξει μὲν ἐπιστασ(ίαν, ὡς εἴρηται), πατριαρχικήν, καὶ μνή(μη) συνήθης τοῦ πατριαρχικοῦ ὀνόματος ἐν ταῖς κατ' αὐτὴν ἱεροτελεστίαις ἔσεται (;) καὶ πνευματικὴ ἀνάκρισις ἐν πράγμασι κινουμένοις, ἐπικρίσεως καὶ ἐπισκέψεως ἀξίοις. Οὐ μὴν τὰ τοιαῦτα ἐξετάζειν καὶ ἐπικρίνειν, καὶ διεύλυτον τὴν ἄδειαν ἕξουσιν ἐν αὐτῇ οἱ ἄν(ω εἰρημένοι πατριαρχι)κοὶ ἔξαρχοι· ἀλλ' ἡνίκα τι τοιοῦτον ἐπισυμβαίνοι τῇ τοιαύτῃ Μονῇ διακρίσεως πνευματικῆς καὶ ἐξετάσεως ἀρχῆς(3) εἰς αὐτὸν (;) δὴ τὸν εὑρισκόμενον τηνικαῦτα ἁγιώτατον πατριάρχην οἰκουμενικὸν ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ τοῦ Θεοῦ ἐκκλησίᾳ καταντήσει τὰ τῆς τοιαύτης ὑποθέσεως καὶ παρ' αὐ(τοῦ ἐξετασ)θήσεται καὶ τὴν ὀφειλομένην ἕξει καλὴν κατάστασιν κατὰ τὴν τῶν θείων καὶ ἱερῶν νόμων τάξιν καὶ πα . . . . . . υσιν. Ἀλλὰ μὴν καὶ ὁ ἡγουμενεύων αὐτῆς (ἀδιάσειστος) ὀφείλει καὶ ἀνενόχλητος διεξάγειν τὰ κατ' αὐτήν. Καὶ τοῦτο πάντως ἔσται τὸ ἀνενόχλητον αὐτῷ καὶ ἀπρόσκοπτον δι' ὅλης αὐτοῦ τῆς ζωῆς καὶ τὴν καλὴν ταύτην (προστα)σίαν καὶ διεξαγωγὴν τῆς τοιαύτης σεβασμίας μονῆς οὐδεὶς τῶν ἁπάντων ἀπ' αὐτῆς παρασαλεύσει καὶ ἀνα(τρέψει). Ἀλλὰ γὰρ οὐκ ὀφείλει μεθίστασθαι τῆς ἡγουμενίας καὶ τῆς τοιαύτης πνευματικῆς προστασίας, εἰ μὴ πάντως ἀναφανείη

(1) Τὸ κείμ. *αὐτόν*.
(2) Ὅρ. πίν. ἀρ. 26.
(3) Ὅρ. πίν. ἀρ. 27.

προδήλως κατεγνωσμένος καὶ ταύτης ἀνάξιος. Αὐτήν γε μὴν τὴν πνευματικὴν προστασίαν, τῆς τοιαύτης σεβασίας Μονῆς τὴν ἡγουμενίαν, οὕτως ἀναδέξεται ὁ μέλλων ἐπὶ ταύτης γενήσεσθαι· (ἐκλεχθ)ίσεται παρὰ τῶν ἐν αὐτῇ πάντων ἀσκουμένων μοναχῶν ὁ δοκιμαζόμενος ἄξιος· εἶτα μετά τινων μοναχῶν ἀναδραμεῖται ἐνταῦθα εἰς τὴν θεομεγάλυντον, θεοφύλακτον καὶ θεοδόξαστον Κωνσταντινούπολιν καὶ κατὰ τὸ εἰκὸς παραδεχθείη παρὰ τοῦ τηνικαῦτα ἁγιωτάτου πατριάρχου. Οὕτω δὴ παρ' α(ὐτοῦ) καὶ τὴν σφραγῖδα δέξεται τὴν ἡγουμενείας καὶ τὴν πνευματικὴν θείαν (1) καὶ ἔννομον τάξιν καὶ συνήθειαν. Καὶ λοιπὸν ἐξῆς ἐγχειρισθήσεται αὐτῷ παρὰ τῆς Βασιλείας Μου καὶ τοῦτο κατὰ τὴν ἐπικρατοῦσαν συνήθειαν. δικανίκιον, σύμβολον τοῦτο παριστῶν εἰς ἐπιδήλωσιν(;) πάντως ὡς ἡ (Μονὴ) βασιλικὴ(2) καὶ ταῖς ἄλλαις συναριθμεῖται βασιλικαῖς Μοναῖς καὶ καθόλου γε (ὀφείλει;) καὶ τιμὴν καὶ ἐλευθερίαν καὶ ἀνενόχλητον πάντων(3) ἐπαπολαύειν αὐτὴν θεσπίζει[ν] καὶ ἡ Βασιλεία Μου κα . . . . τὰ πάντα καὶ οἱ διαληφθέντες χρυσόβουλλοι λόγοι τοῦ ἁγίου μου αὐθέντου καὶ βασιλέως τοῦ πατρὸς (4) Αὐτῆς διορίζονταί τε καὶ διατάττονται. Εἰς γὰρ τὴν περὶ αὐτῶν ὅλων, ὡς διαλαμβάνει, βεβαίωσιν καὶ ἀσφάλειαν καὶ διαμονὴν ἀσάλευτον ἐπεχορηγήθη καὶ ἐπεβραβεύθη αὐτῇ καὶ ὁ παρὼν χρυσόβουλλος ΛΟΓΟΣ τῆς Βασιλείας Μου ἀπολυθεὶς κατὰ μῆνα . . . . τῆς νῦν τρεχούσης δευτέρας ἐνδικτιόνος τοῦ ἑξάκις χιλιοστοῦ ὀκτακοσιοστοῦ εἰκοστοῦ ἑβδόμου ἔτους, ἐν ᾧ καὶ τὸ Ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο Κράτος.

† Ἀνδρόνικος ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος. †

Γ'.

Ἔφθασε μὲν καὶ προσαίτησιν ποιησάμενος ὁ τιμιώτατος μέγας πρωτοσύγκελλος Πελοποννήσου κυρὸς Παχώμιος ἐπιχορηγηθεὶς χρυ-

(1) Ὅρ. πίν. ἀρ. 28.
(2) Ὅρ. πίν. ἀρ. 29.
(3) Τὸ χείμ. *ἀνενόχλησι πάσης*.
(4) Ὅρ. πίν. ἀρ. 30.

σόβουλλα τῇ ἀνεγερθήσῃ ὑπ' αὐτοῦ κατὰ τὴν θεόσωστον πόλιν Μυζηθρᾶ σεβασμίᾳ μονῇ τῇ εἰς ὄνομα τιμωμένῃ τῆς ὑπεραγίας Θεοτόκου καὶ ἐπικεκλημένῃ τοῦ Βροντοχίου ἐπὶ τοῖς προσοῦσιν αὐτῇ μετοχίοις καὶ λοιποῖς κτήμασι. Καὶ μέντοι καὶ ἔτυχε τῆς αἰτήσεως ὡς θεαρέστου καὶ θεοφιλοῦς πολιτείας ἀντιποιούμενος καὶ ὀρθὸς ὢν εἰς τὴν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν καὶ εἰς τὴν βασιλείαν, καὶ ζῆλον ἔχων ὑπὲρ τοῦ συμφέροντος τῶν κοινῶν πραγμάτων. Ἐπεὶ δὲ ἀνέφερε καὶ ἄρτυ ὅτι ἐξωνήσατο περὶ τὸν τόπον τοῦ Σταράβου (;) γῆν πετρώδη καὶ ἀχρησίμευτον ἀπὸ τοῦ Σοφιανοῦ Μαλέα καὶ τοῦ Καταφυγιώτου καλουμένην . . . . μετὰ τῶν ἐν αὐτῇ ἐλαϊκῶν δένδρων καὶ ἑτέρων βελανιδοφόρων. Ἔτι τε περὶ τὸ μέρος τοῦ Πασαβᾶ ἑτέραν γῆν μοδίων διακοσίων· ὁμοίως παρεδόθη αὐτῷ παρὰ τοῦ σεβαστοῦ τοῦ (;) Πολεμιανίτου ἐκείνου πρὸς τὸν αἰγιαλὸν τοῦ Ἄστρου, εἰς τὸν κάμπον τῆς Μαλεβῆς περὶ τὸ Χολοδομητικὸν καὶ περὶ τὸν τόπον τὸν καλούμενον τοῦ ἁγίου Νικολάου μόδια ἑξακόσια, ἐν ᾗ ἐστι καὶ μονύδριον εἰς ὄνομα τιμώμενον τοῦ Ἁγίου Νικολάου καὶ ἐπικεκλημένον Φοῦσκα, ἐν ᾗ προ⟨ς⟩κάθηνται καί τινες πάροικοι, ἀντὶ τῆς ἀφαιρεθείσης ἐξ αὐτῆς δὴ τῆς σεβασμίας Μονῆς ἑτέρας γῆς τῆς εἰς τὸν Χελμὸν καὶ δοθείσης εἰς στρατιώτας· ἣν δὴ γῆν καὶ τὸ ῥηθὲν μονύδριον προσεκύρωσε τῇ διαληφθείσῃ σεβασμίᾳ Μονῇ τοῦ Βροντοχίου καὶ παράκλησιν πεποίηκε πρὸς τὴν Βασιλείαν Μου ἐπιχορηγηθῆναι τῇ αὐτῇ σεβασμίᾳ Μονῇ καὶ ἕτερον χρυσόβουλλον Αὐτῆς, ὥστε κατέχειν ταύτην τό τε ῥηθὲν μονύδριον καὶ τὴν ἐν διαφόροις, ὡς εἴρηται, τόποις εὑρισκομένην γῆν μετὰ τῶν ἐν αὐτῇ ἐλαϊκῶν δένδρων καὶ τῶν ἑτέρων (1) βελανίδιον γεωργούντων. Ἡ Βασιλεία Μου καὶ τὴν περὶ τούτων εὐμενῶς ἅμα καὶ συνήθως προσδεξαμένη παράκλησιν τὸν παρόντα χρυσόβουλλον ΛΟΓΟΝ ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει τῇ αὐτῇ σεβασμίᾳ Μονῇ τῆς ὑπεραγίας μου Θεοτόκου τῆς Ὁδηγητρίας καὶ ἐπικεκλημένης τοῦ Βροντοχίου, δι' οὗ προστάσσει καὶ διορίζεται κεκτῆσθαι ταύτην, πρὸς τοῖς ἄλλοις τοῖς παρ' αὐτῆς κατεχομένοις διὰ τοῦ προσεπιχορηγηθέντος αὐτῇ χρυσοβούλλου τῆς Βασιλείας Μου (2). (ἐξ ἀγ)ορασίας ὡς εἰ (ἔχοι) περιελθοῦσαν αὐτῇ μετὰ τῶν ἐν αὐτῇ ἐλαϊκῶν δένδρων καὶ τῶν ἄλλων τῶν βελανίδιον γεωργούντων, τῷ διαληφθέντι

(1) Ὅρ. πίν. ἀρ. 31.
(2) Ἀναφέρεται εἰς τὸν Β' τῶν δημοσιευομένων χρυσοβούλλων λόγων.

μεγάλῳ πρωτοσυγκέλλῳ Πελοποννήσου κυρῷ Παχωμίῳ ἀπὸ τοῦ Σοφιανοῦ Μαλέα καὶ τοῦ Καταφυγιώτου· κεκτῆσθαι δὲ ὁμοίως αὐτὴν καὶ τὴν εἰς τὸν Πασαβᾶν ἑτέραν γῆν τῶν διακοσίων μοδίων, ἔτι δὲ καὶ τὴν τῶν ἑξακοσίων μοδίων, ἤγουν τὴν πρὸς τὸν αἰγιαλὸν τοῦ Ἄστρου, τὴν περὶ τὸν κάμπον τῆς Μαλεβῆς, τὴν περὶ τὸ Χολοδομητικόν, τὴν περὶ τὸν τόπον τὸν λεγόμενον τοῦ Ἁγίου Νικολάου, τὴν ἀγορασθεῖσαν παρὰ τοῦ σεβαστοῦ Πολεμιανίτου ἀντὶ τῆς ἀφαιρεθείσης ἐξ αὐτῆς δὴ τῆς Μονῆς ἑτέρας γῆς εἰς τὸν Χελμὸν καὶ παραδοθήσης εἰς στρατιώτας. (Ἣν δὴ γῆν καὶ τὸ) ῥηθὲν μονύδριον τοῦ Ἁγίου Νικολάου τὸ ἐπικεκλημένον Φοῦσκα, μετὰ τῶν εἰρημένων παροίκων αὐτοῦ καὶ λοιπῶν δικαίων τούτου· καὶ εὑρίσκει . . . . . . τίως εἰ(;) ἐν αὐτοῖς παρὰ τοῦ μέρους τῆς διαληφθείσης σεβασμίας Μονῆς ἢ τοῖς μέλλουσι προσελθεῖν ἀπὸ ἀλλοτρίων χωρῶν . . . . . (ἡ εἰρημένη γῆ καὶ τὸ) μονύδριον ὄχλησιν καὶ διασεισμόν τινα καὶ ἐπήρειαν ἢ ἀγγαρείαν, κατατριβὴν καὶ ἐπίθεσιν παρὰ τῶν κατὰ καιροὺ(ς) μελλόντων ἔχειν τὴν καθολικὴν ἐνοχὴν τοῦ κεφαλατικίου τῆς κατὰ Πελοπόννησον χώρας καὶ τῶν κάστρων τῆς Βασιλείας Μου ἢ τῶν ὑπ' αὐτοὺς κατὰ τόπους μερικῶν ἐνόχων ἢ παρὰ τῶν τοῦ δημοσίου διενεργούντων καθολικῶν ἐνόχων ἢ τῶν μερικῶν, ἢ παρ' ἄλλου τινὸς τῶν ἁπάντων καθ' οἷ(ον) δή τινα τρόπον. Διατηρηθήσονται γὰρ ταῦτα πάντα ἀνώτερα παντάπασι δημόσια καὶ ἐπηρείας καὶ ζητήσεως καὶ λοιπῆς ἄλλης πάσης κατατριβῆς καὶ ὀχλήσεως· ἤγουν δόσεως ἐννομίου, ἀγγαρείας, καστροκτισίας, σιταρκείας, καταθέσεως βρωσίμων καὶ ποσίμων καὶ ἀλλοίων εἰδῶν, ἀλλὰ δὴ καὶ ἑτέρας εἰσπράξεως κατὰ χώραν ἐπερχομένης, καὶ οὐδεὶς ἀπαιτήσει τι (ἐξ αὐτοῦ δὴ τοῦ με(τοχίου) τοῦ Ἁγίου Νικολάου ἢ τῆς εἰρημένης γῆς καὶ τῶν μελλόντων προσκαθίσαι, ὡς εἴρηται, ἐν αὐτῇ ξένων καὶ ἐλευθέρων. Ἐπειδὴ οἷος(1) τῶν ἀνατέρω εἰρημένων θελ(ήσει . . . .) διαπρᾶξαι τοιοῦτόν τι εἴς τε τὴν εἰρημένην σεβασμίαν μονὴν τῆς ὑπεραγίας μου Θεοτόκου τῆς Ὁδηγητρίας καὶ εἰς τὰ μετόχια καὶ λοιπὰ κτήματα καὶ πράγματα (καὶ εἰς τὸ) ῥηθ(ὲν μονύδρ)ιον τοῦ (ἁγίου) Νικολάου τὸ καὶ ἐπικεκλημένον Φοῦσκα ἢ εἰς τὴν διαληφθεῖσαν γῆν καὶ τοὺς μέλλοντας προσκαθίσαι ἐν αὐτῇ, ὡς εἴρηται, ὡς ἀθ(ετητὴς τῆς πα)ρούσης προσταγῆς τῆς Βασιλείας Μου καταδικασθήσεται. Ἀλλ' οὐδέ τις τῶν

(1) Τὸ χείμ. οἵως.

εἰς μετέπειτα κατὰ καιρὸν μελλόντων ποιεῖσθαι ἀπογραφικὴν δουλείαν ἐν τῇ κ(ατὰ τὴν) Πελοπόννησον (χώρᾳ) τῆς Βασιλείας Μου ἕξει ἄδειαν εἰσέρχεσθαι εἰς τὰ ῥηθέντα μετόχια καὶ λοιπὰ κτήματα τῆς τοιαύτης σεβασμίας Μονῆς ἢ εἰς τὸ τοιοῦτον μονύδριον τοῦ (Ἁγίου) Νικολάου τὸ ἐπικεκλημένον Φοῦσκα καὶ ἐπάγειν(1) εἰς αὐτὸ κατατριβήν τινα ἢ ἀφαιρεῖσθαι τι ἐξ αὐτοῦ ἢ ἀπὸ τῆς ἀνωτέρας εἰρημένης γῆς. Τῇ δυνάμει γὰρ καὶ ἰσχύϊ τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς Βασιλείας Μου ἐλεύθερα, ὡς εἴρηται, ταῦτα πάντα διατηρηθήσονται καὶ ἀνώτερα πάσης δημοσιακῆς ἐπηρείας καὶ συζητήσεως (δια)μενοῦσι τῇ διαληφθείσῃ σεβασμίᾳ Μονῇ τῆς Βασιλείας Μου τῇ εἰς ὄνομα τιμωμένῃ τῆς ὑπεραγίας μου δεσποίνης Θεοτόκου (τῆς Ὁδηγη)τρίας (καὶ ἐπικεκλημένῃ τοῦ Βροντοχίου ἀναφαί)ρετα καὶ ἀναπόσπ(ατα). Ἐπὶ τούτῳ γὰρ ἐπεχορηγήθη καὶ ἐπεβραβεύθη τῇ τοιαύτῃ σεβασμίᾳ Μονῇ καὶ ὁ παρὼν χρυσόβουλλος ΛΟΓΟΣ τῆς Βασιλείας Μου ἀπολυθεὶς κατὰ μῆνα Φεβρουάριον τῆς νῦν τρεχούσης τρίτης ἰνδικτιόνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ εἰκοστοῦ ὀγδόου ἔτους, ἐν ᾧ καὶ τὸ Ἡμέτερον εὐσεβὲς ὑπεσημήσατο κράτος † Ἀνδρόνικος ἐλέῳ Θεοῦ βασιλεὺς καὶ αὐτοκράτωρ Ρωμαίων ὁ Παλαιολόγος. †

Δ΄.

Ἔφθασαν μὲν κατὰ πρότερον ἐπιχορηγηθῆναι χρυσόβουλλα τῇ ἀνεγερθείσῃ παρὰ τοῦ τιμιωτάτου μεγάλου πρωτοσυγκέλλου τῆς Πελοποννήσου κυροῦ Παχωμίου κατὰ τὴν Θεόσωστον πόλιν Μουζηθρὰ σεβασμίᾳ Μονῇ τῇ εἰς ὄνομα τιμωμένῃ τῆς ὑπεραγίας Θεοτόκου τῆς Ὁδηγητρίας καὶ ἐπικεκλημένῃ τοῦ Βροντοχίου, ἐπὶ τῆς προσοῦσιν αὐτῇ μετοχίοις καὶ λοιποῖς κτήμασιν. Ἐπὶ δὲ ἀνέφερον καὶ ἀρτίως ὅτι παρεδόθη τῇ τοιαύτῃ Μονῇ παρὰ τοῦ περιποθήτου ἀνεψιοῦ τῆς Βασιλείας Μου, κεφαλῆς τῆς κατὰ τὴν Πελοπόννησον χώρας καὶ τῶν κάστρων τῆς Βασιλείας κυροῦ Ἀνδρονίκου τοῦ Παλαιολόγου, περὶ τὰ Σκορτὰ μετόχιον εἰς ὄνομα τιμώμενον τῆς ὑπεραγίας Θεοτόκου καὶ

(1) Τὸ χείμ. **ἐπάγην**. Πολλοὺς τοιούτους βαρβαρισμούς, οἷον κατωτέρω ***διαμενοῦσῃ*** διωρθώσαμεν.

ἐπικεκλημένον ἡ Βό⟨γα⟩λις μετὰ τῶν δικαίων αὐτοῦ, ἤγουν παροίκων, ἀμπελίων, χωραφίων, μυλῶνος καὶ ἑτέρων δένδρων ὀπωροφόρων, ἔτι δὲ καὶ χωρία δύο ἡ Ζοῦρτζα καὶ ἡ Μουντρὰ καλούμενα μετὰ τῆς περιοχῆς αὐτῶν, ἥτις ἐστὶν ἡ Παχεῖα, ἡ Χουτζᾶ, τὸ Πρατζυδάκη καὶ ἡ Κλενοβά, σὺν τῷ ἐν (αὐ)τοῖς μυλῶνι καὶ τοῖς ἐλαϊκοῖς δένδροις. Ὁμοίως παρεδόθη τῇ τοιαύτῃ Μονῇ καὶ γῆ εὑρισκομένη εἰς τὴν Πισσιάν, τὴν Τοπολονὰν καὶ εἰς τὴν τοποθεσίαν τοῦ Ἁγίου Ἰωάννου. Ὡσαύτως προσετέθη(1) τῇ τοιαύτῃ Μονῇ διὰ προστάγματος καὶ τιμίων πατριαρχικῶν σιγιλλιωδῶν γραμμάτων εἰς τὸν κάμπον τῆς Καρυταίνης ἕτερον μετόχιον ἐπ' ὀνόματι τιμώμενον τῆς ὑπεραγίας Θεοτόκου καὶ ἐπικεκλημένης τῆς Νέας Μονῆς μετὰ τῶν παροίκων, τῶν ἀμπελίων, τῶν χωραφίων, τῶν ἐλαιῶν καὶ τοῦ μυλῶνος αὐτοῦ. Ἔχει καὶ εἰς τὸν Πασαβᾶν γῆν μοδίων ἑξακο(σίων). Καὶ παρεκλήτευε τὴν Βασιλείαν μου ἐπιχορηγηθῆναι τῇ αὐτῇ σεβασμίᾳ Μονῇ καὶ ἕτερον χρυσόβουλλον αὐτῆς, ὥστε κατέχειν καὶ ταῦτα ἀνενοχλήτως καὶ ἀναφαιρέτως. Ἡ Βασιλεία Μου διὰ τὴν ἐνοῦσαν αὐτῷ πνευματικὴν καὶ θεάρεστον πολιτείαν, ἅμα δὲ καὶ διὰ τὸν ὃν ἐνδεικνύει ζῆλον ὑπὲρ τοῦ συμφέροντος τῶν κοινῶν πραγμάτων, εὐμενῶς δὲ καὶ συνήθως προσδεξαμένη καὶ τὴν περὶ τούτου παράκλησιν, τὸν παρόντα χρυσόβουλλον ΛΟΓΟΝ ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει τῇ αὐτῇ σεβασμίᾳ Μονῇ τῆς ὑπεραγίας Θεοτόκου τῆς Ὁδηγητρίας καὶ ἐπικεκλημένης τοῦ Βροντοχίου, δι' οὗ προστάσσει καὶ διορίζεται κεκτῆσθαι(2) ταύτην πρὸς τοῖς ἄλλοις τοῖς παρ' αὐτῆς κατεχομένοις διὰ τῶν προεπιχορηγηθέντων αὐτῇ χρυσοβούλλων τῆς Βασιλείας Μου ἀνενόχλητον καὶ τὸ παραδοθὲν αὐτῇ περὶ τὰ Σχορτὰ μετόχιον τῆς ὑπεραγίας Θεοτόκου τῆς Βόγαλις μετὰ τῶν προσόντων αὐτῇ παροίκων καὶ κτημάτων, ὅσα καὶ οἷά εἰσιν· ἤγουν ἀμπέλια, χωράφια, ἐλαῖαι, σῦκα, μ(υλῶνος καὶ) ἑτέρων ὀπωροφόρων δένδρων. Ὁμοίως κεκτῆσθαι καὶ τὰ χωρία, τὴν Ζοῦρτζαν καὶ τὴν Μουντρὰν μετὰ τῆς εἰρημένης περιοχῆς αὐτῶν, ἥτις ἐστὶν ἡ Παχεῖα, ἡ Χουτζᾶ. (τὸ Πρατζυδ)άκη καὶ ἡ Κλενόβα σὺν τῷ ἐν αὐτῇ μυλῶνι καὶ τοῖς ἑξῆς δένδροις. Ἀλλὰ δὴ καὶ γῆν εὑρισκομένην εἰς τὴν Πιστιάναν, τὴν Τοπολονὰν καὶ (εἰς τὴν τοποθεσίαν τοῦ Ἁγίου) Ἰωάννου, κατέχον ὁμοίως καὶ εἰς τὴν Καρύταιναν μετό-

(1) Τὸ κείμ. *προσέτι.*
(2) Τὸ κείμ. *κεκτῆσται.*

χιον τῆς ὑπεραγίας Θεοτόκου τῆς Νέας Μονῆς μετὰ τῶν προσόντων καὶ αὐτῇ παροίκων καὶ κτημάτων, ὅσα, καὶ οἷά (εἰσιν)· ἤγουν ἀμπελίων, χωραφίων, ἐλαιῶν καὶ μυλῶνος κατὰ τὰς περιλήψεις τοῦ προσόντος τῇ τοιαύτῃ Μονῇ προστάγματος, ἔτι δὲ καὶ τῶν τιμίων σιγιλλιωδῶν πατριαρχικῶν γραμμάτων. Πρὸς τούτοις κατ(έχει) καὶ τὴν εἰς τὸν Πασαβᾶν εἰρημένην γῆν τῶν ἑξακοσίων μοδίων τὴν ἐξαγορασθεῖσαν, δῆλον ὅτι περιελθοῦσαν αὐτῇ, καὶ μὴ εὑρίσκον ἐπὶ τοῦ . . . . . εἰς τὰς βελτιώσεις τὰς μελλούσας γίνεσθαι ἐν αὐτοῖς παρὰ τοῦ μέρους τῆς δηλωθείσης σεβασμίας μονῆς ὄχλησιν ἢ δια<σει>σμόν τινα καὶ ἐπήρειαν παρὰ τῶν κατὰ καιροὺς εὑρισκομένων εἰς τὴν (κα)θολικὴν ἐνοχὴν τοῦ κεφαλατικίου τῆς κατὰ τὴν Πελοπόννησον χώρας καὶ τῶν κάστρων τῆς Βασιλείας Μου, ἢ τῶν ὑπ' αὐτοὺ(ς) κατὰ τόπους μερικῶν ἐνόχων ἢ παρὰ (τῶν τοῦ δημοσ)ίου ἐ(νεργούντων κα)θολικῶν ἐνόχων, ἢ τῶν μερικῶν ἢ παρ' ἄλλου τινὸς τῶν ἁπάντων καθ' οἷον δή τινα τρόπον. Διατηρηθήσον(ται) γὰρ ταῦτα ἀνώτερα παντάπασι δη(μόσια καὶ ἐπηρείας καὶ ζητή)σεως καὶ λοιπῆς πάσης κατατριβῆς καὶ ὀχλήσεως· ἤγουν δόσεως, ἐννομίου καστροκτισίας, σιταρκείας, καταθέσεως (βρωσίμων καὶ ποσίμων καὶ ἀλλοί)ων εἰδῶν, ἀλλὰ δὴ καὶ ἑτέρας εἰσπράξεως κατὰ χώραν ἐπερχομένης. Καὶ οὐδεὶς ἀπαιτήσει τι ἐκ τῶν τοιούτων μετοχίων ἢ τῆς εἰρημένης (γῆς . . . . . καὶ τῶν κ)τημάτων τῆς τοιαύτης σεβασμίας Μονῆς ἢ τῶν μελλόντων προσελθεῖν ἀπὸ ἀλλοτρίων χωρῶν καὶ προσκαθίσαι ἐν αὐτοῖς· ἀλλ' οὐ(δέ τις τῶν εἰς μετέπειτα κατὰ) καιροὺ(ς) μελλόντων ποιῆσαι ἀπογραφικὴν δουλείαν ἐν τῇ κατὰ τὴν Πελοπόννησον χώρᾳ τῆς Βασιλείας μου ἕξει ἄδειαν εἰσέρ(χεσθαι εἰς τὰ) δηλωθέντα ἕτερα κτήματα τῆς τοιαύτης σεβασμίας Μονῆς καὶ ἐπάγει(ν) κατατριβήν τινα ἢ ἀφαιρεῖσθαι τι ἐξ αὐτῆς ἢ ἀπὸ τῆς ἀ(νωτέρω εἰρημέν)ης γῆς. Τῇ γὰρ ἰσχύϊ καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου ΛΟΓΟΥ τῆς Βασιλείας Μου ἐλεύθερα, ὡς εἴρηται, ταῦτα πάντα διατηρηθήσονται καὶ ἀνώτερα πάσης ἐπηρείας καὶ διαμενοῦσιν (τῇ διαληφθεί σῃ σεβασμίᾳ Μονῇ ἀναφαίρετα καὶ ἀναπόσπαστα. Παρεκλήτευσεν ὁ αὐτὸς τιμιώτατος μέγας πρωτοσύγκελλος τῆς Πελοποννήσου καὶ ἵνα, ὅτε εὐδοκήσει ὁ Θεὸς διὰ τῆς προστασίας τῆς ὑπεραγίας Θεοτόκου γενέσθαι τῆς Βασιλείας Μου τὴν ἅπασαν χώραν τῶν Σκορτῶν, καθέξει ἡ τοιαύτη σεβασμία Μονὴ καὶ τὴν εἰς τὸ δηλωθὲν μετόχιον τῆς Βόγαλις, ἀλλὰ δὴ καὶ τὴν εἰς τὰ

εἰρημένα δύο χωρία λατινικὴν μερίδα. Ἡ Βασιλεία Μου προσδεξαμένη καὶ τὴν ἐπὶ τούτου δέησιν διορίζεται ἵνα, ἐὰν γένηται (εὐδοκοῦντος) Θεοῦ διὰ τῆς ἀντιλήψεως τῆς ὑπεραγίας Θεοτόκου ἡ εἰρημένη (ἅπασα;) χώρα (τῶν) Σκορτῶν τῆς Βασιλείας Μου ἐπι(βραβευθῇ) αὕτη τῇ σεβασμίᾳ Μονῇ ἀνεμποδίστως καὶ τὴν . . . . Ἕνεκα (τούτου;) γὰρ ἐγεγόνει καὶ ἐπεβραβεύθη τῇ (σεβασμίᾳ) Μονῇ καὶ ὁ παρὼν χρυσόβουλλος ΛΟΓΟΣ τῆς Βασιλείας Μου (ἀπο)λυθεὶς κατὰ (μῆνα) . . . εβριον τῆς νῦν τρεχούσης ἰνδικτιόνος (τοῦ) ἑξάκις χιλιοστοῦ ὀκτακοσιοστοῦ εἰκοστοῦ ἐνάτου (;) ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς (καὶ θεοπρόβλητον) ὑπεσημήνατο κράτος. †

† Ἀνδρόνικος (ἐλέῳ Θεοῦ) αὐτοκράτωρ Ρωμαίων (ὁ Παλαιολόγος).

Ἐπὶ τῶν χρυσοβούλλων τούτων παρατηροῦμεν ταῦτα·

Ἱερομόναχός τις Παχώμιος, ἄγνωστον ἂν ἐξ ἐπισήμου ἢ ἀσήμου γένους καὶ ἐκ τίνος πόλεως, ἀνήγειρε, μικρὸν ἀφ' οὗ περιῆλθεν ὁ Μυστρᾶς εἰς τὸ κράτος τῶν Ἑλλήνων ἐν Κωνστινουπόλει βασιλέων, μονὴν ἐν τῇ πόλει τοῦ Μυζηθρᾶ εἰς ὄνομα τιμωμένην τῆς Πανυπεράγνου Θεοτόκου τῆς Ὁδηγητρίας, καλέσας οὕτως αὐτὴν κατὰ τὴν ἐν Κωνσταντινουπόλει ὁμώνυμον· διότι οἱ κατὰ τὴν *θεόσωστον πόλιν Μυζηθρᾶν*, ἀκρόπολιν τοῦ Ἑλληνικοῦ ἐν Πελοποννήσῳ ἐμιμοῦντο κατὰ πολλὰ τοὺς *ἐν τῇ θεοφρουρήτῳ Κωνσταντινουπόλει*, ἀκροπόλει τοῦ Ἑλληνικοῦ πολιτισμοῦ κατὰ τῶν βαρβάρων. Εἶχον οἱ ἐν τῷ Βυζαντίῳ αὐτοκράτορας καὶ αὐλὴν βασιλικὴν καὶ ἐθνικὸν στρατὸν κατὰ τῶν ἐξ ἀνατολῶν μάλιστα πολεμίων, καὶ βασιλικὰ διατάγματα χρυσόβουλλα καὶ ναοὺς πολιτελεῖς, καὶ μονὰς πλουσίας, ἔνθα οὐχὶ σπανίως καὶ βασιλεῖς ὑπὲρ τῆς πατρίδος καὶ τῆς ἐκκλησίας πολλὰ ταλαιπωρήσαντες ἐτελεύτων τὸν πολύαθλον αὐτῶν βίον· ἀλλ' εἶχον καὶ οἱ ἐν Μυστρᾷ δεσπότας καὶ αὐλὴν περὶ αὐτοὺς καὶ ἀργυρόβουλλα διατάγματα καὶ ἐθνικὸν στρατόν, κατὰ τῶν ἐκ δυσμῶν μάλιστα πολεμίων μαχόμενον, καὶ μονὰς πλουσιωτάτας μετὰ περικαλλῶν ναῶν ὁμωνύμων τῶν ἐν Κωνσταντινουπόλει. Οὕτως πολλοὶ τῶν ἐν Μυστρᾷ ναῶν ἐκαλοῦντο, κατὰ τοὺς ἐν τῇ βασιλίδι τῶν πόλεων, Ἁγία Σοφία, τοῦ Ζωοδότου Χριστοῦ (ὕστερον Παντάνασσα), Περίβλεπτος, Ὁδηγήτρια.

Ἵδρυσε δὲ τὴν Μονὴν ὁ Παχώμιος ἐν χώρῳ τῆς πόλεως καλουμένῳ τοῦ Βροντοχίου. Περὶ τούτου μὲν ἀνωτέρω τὰ δέοντα εἴπομεν·

ὅτι δὲ ὁ Παχώμιος εἶναι ὁ ἱδρυτὴς τῆς Μονῆς μαρτυρεῖται ὑπ' αὐτῶν τῶν χρυσοβούλλων. Οὕτως ἐν τῷ πρώτῳ, ὥσπερ κατά γε τὴν ἐμὴν γνώμην συνεπλήρωσα, ἀναγιγνώσκομεν τάδε· «Ἔφθασε μὲν προβῆναι πρόσταγμα τῆς Βασιλείας Μου, καὶ δι' αὐτοῦ διάφορα διαιώματα τῇ κατὰ τὸν Μυζηθρᾶ διακειμένῃ σεβασμίᾳ Μονῇ τῆς Βασιλείας Μου τῇ παρ' αὐτ(οῦ ἱδρυθείσῃ τοῦ τιμιωτάτου) ἀρχιμανδρίτου καὶ *πρωτοσυγκέλλου κυροῦ Παχωμίου*, ἐπ' ὀνόματι δὲ τετιμημένῃ τῆς π. ὑπ. Θεοτ. τῆς Ὁδηγητρίας καὶ ἐπικεκλημένῃ τοῦ Βροντοχίου»· μάλιστα δὲ ἐκ τοῦ δευτέρου, ἔνθα διαρρήδην ἀναγράφονται τάδε· «Ὁ ἅγιός μου αὐθέντης καὶ βασιλεὺς ὁ πατὴρ τῆς Βασιλείας μου.... ἔφθασε ἐπὶ πολλοῖς προστάγμασί τε καὶ διαφόροις δικαιώμασι καὶ χρυσοβούλου λόγου ἐπιβραβεύσει ἐπικυροῦν ταῦτα τῇ κατὰ τὸν Μυζηθρᾶ διακειμ. σεβ. Μονῇ .... τῆς Ὁδηγ. καὶ ἐπικεκλ. τοῦ Βροντοχίου διὰ τὴν ἀρετήν τε καὶ τὴν κατὰ Θεὸν πολιτείαν τοῦ *ἀνεγείραντος καὶ συστησαμένου ταύτην* τιμιωτ. μεγ. πρωτ. τῆς Πελοπον. κυροῦ *Παχωμίου*» (1). Ἐντεῦθεν δὲ γίγνεται βέβαιον ὅ,τι ἀνωτέρω (σελ. 457 στίχ. 30 κἑξ.) δισχυρίσθημεν περὶ τοῦ προσφέροντος τὸν ναὸν τῇ Θεοτόκῳ ὅτι εἶναι ὁ Παχώμιος.

Οὗτος οὐ μόνον ὑπὲρ τῆς Ἐκκλησίας καὶ τῆς Μονῆς αὐτοῦ μάλιστα νυχθήμερον ἐπεμελεῖτο, ἀλλὰ καὶ ὑπὲρ τῆς βασιλείας καὶ τοῦ κράτους πολλὰ ἐμόχθει, ὡς δηλοῦται ἐκ τῶνδε τῶν χωρίων τῶν χρυσοβούλλων· ἐκ τοῦ Α' λέγοντος· «εὔνοια εἰλικρινὴς ἐνταῦθα πρὸς τὴν Ἡμετέραν Βασιλείαν εὕρηται πυρσευομένη ... καὶ ζῆλος καὶ γνώμης εὐθύτης κἂν τοῖς πράγμασι μετὰ συνέσεως ἐμπειρία ... ὧν εἰς ἀνὴρ εἰς μίαν ἁρμονίαν συνάψας ... φαίνεται ὁ τιμιώτατος καθηγούμενος κυρὸς Παχώμιος». Ἐκ τοῦ Β' «τὴν τοιαύτην αἴτησιν καὶ παράκλησιν αὐτοῦ τοῦ τιμιωτάτου ... κ. Παχωμίου ἑτοίμως προσδεξαμένη ἡ Βασιλεία μου ... (*διὰ τὸν*) *τῶν κοινῶν πραγμάτων ζῆλον* καὶ καθαρὰν καὶ *διάπυρον εὔνοιαν*, ἣν τρέφει πρὸς τὴν Βασιλείαν μου... τὸν παρόντα χρυσόβουλλον λόγον ἐπιχορηγεῖ». Ἐν δὲ τῷ Γ' λέγεται ὁ Παχώμιος «*ὀρθὸς ὢν* ... *εἰς τὴν Βασιλείαν* καὶ ζῆλον ἔχων *ὑπὲρ τοῦ συμφέροντος τῶν κοινῶν πραγμάτων*». Μάλιστα δὲ φαίνεται πολέμιος ὁ Παχώμιος τῶν ἐν Πελοποννήσῳ Φράγκων, διότι προσπαθεῖ νὰ εἰσαγάγῃ ἐλευθέρους ἀπὸ τοῦ μέρους τῆς *Λατίνης* καὶ ἱκετεύει τὸν

(1) Ὅρα καὶ χρυσόβουλλον Δ' ἐν ἀρχῇ.

Θεὸν νὰ ἀποσπασθῇ τῶν Φράγκων «ἡ ἅπασα χώρα τῶν Σκορτῶν». Διὰ τὴν τοιαύτην ὑπὲρ τῆς πολιτείας φροντίδα ἀπέλαυε τῆς εὐνοίας δύο αὐτοκρατόρων, ἐξ ἧς προστάγματα καὶ χρυσόβουλλα ἔλαβεν ὑπὲρ τῆς Μονῆς, ἧς τὸ ἀξίωμα ἐπὶ Ἀνδρονίκου Β΄ Παλαιολόγου τοῦ Γέροντος πατριάρχου ὄντος τοῦ Ἀθανασίου προεβιβάσθη εἰς τὴν τοῦ ἀρχιμανδρίτου καὶ μεγάλου πρωτοσυγκέλλου Πελοποννήσου τιμήν. Πρὸς τὴν μαρτυρίαν ταύτην τῶν τριῶν χρυσοβούλλων διαφωνεῖ συγίλλιόν τι δημοσιευθὲν ὑπὸ Miklosich καὶ Müller (1), ἐν ᾧ λέγεται ὅτι ἡ Μονὴ προεβιβάσθη «εἰς τὴν τοῦ ἀρχιμανδρίτου καὶ μεγάλου πρωτοσυγκέλλου τιμήν». Ἀλλὰ προφανῶς τὸ συγίλλιον ἐλλειπῶς ἐξέθετο τὸ ἀξίωμα τῆς Μονῆς.

Ἐξεδόθησαν δὲ ὑπὲρ τῆς Μονῆς, πλὴν τῶν τεσσάρων χρυσοβούλλων, καὶ δύο πιθανῶς προστάγματα, διατάγματα καὶ ταῦτα βασιλικὰ ἀλλ' ὑποδεέστερα τὴν ἀξίαν τῶν χρυσοβούλλων. Τῶν προσταγμάτων τούτων τὸ πρῶτον ἐξέδωκεν ὁ βασιλεὺς Μιχαὴλ ὁ Παλαιολόγος ὁ τὸν Α΄ χρυσόβουλλον λόγον τῇ Μονῇ ἐπιχορηγήσας, ὡς δηλοῦται ἐκ τῆς ῥήσεως τοῦ χρυσοβούλλου τῆςδε· «Ἔφθασε προβῆναι *πρόσταγμα τῆς Βασιλείας Μου*... τῇ κατὰ τὸν Μυζηθρᾶ διακειμένῃ σεβασμίᾳ Μονῇ κτλ.». Μαρτυρεῖται δὲ τοῦτο καὶ ὑπὸ τοῦ Β΄ χρυσοβούλλου τοῦ ὑπὸ Ἀνδρονίκου τοῦ Γέροντος ἐπιβραβευθέντος τῇ Μονῇ· ἀλλ' ἀντὶ ἑνὸς ἀναφέρει πολλὰ ἐκδοθέντα προστάγματα ὑπὸ τοῦ πατρὸς αὐτοῦ ὑπὲρ τῆς Μονῆς. Ἰδοὺ δὲ τὸ περὶ τούτου χωρίον· «ὁ πατὴρ τῆς Βασιλείας Μου... ἔφθασε μὲν *ἐπὶ πολλοῖς προστάγμασι* καὶ διαφόροις δικαιώμασι καὶ χρυσοβούλλου λόγου ἐπιβραβεύσει ἐπικυροῦν ταῦτα τῇ κατὰ τὸν Μυζηθρᾶ διακ. σεβ. Μονῇ». Καὶ τοῦτο μὲν τὸ πρόσταγμα ἢ τὰ προστάγματα τοῦ Μιχαὴλ ἀνεφέρετο εἰς τὰ μετόχια καὶ τὰς λοιπὰς κτήσεις τῆς Μονῆς, τὰς ἔν τε τῷ Α΄ καὶ τῷ Β΄ χρυσοβούλλῳ μνημονευομένας, περί τινων δὲ κτήσεων ἀναγραφομένων ἐν τῷ Δ΄ χρυσοβούλλῳ εἶχεν ἐκδοθῇ ὑπὸ Ἀνδρονίκου βεβαίως πρόσταγμα ὡς δηλοῦται ἐκ τῆς ῥήσεως· «κατὰ τὰς περιλήψεις τοῦ προσόντος τῇ τοιαύτῃ Μονῇ *προστάγματος*».

Ἀτυχῶς οὐδέτερον τῶν προσταγμάτων τούτων εὑρέθη μέχρι τοῦδε· ἀλλὰ πιθανώτατα τὸ ἕτερον διασώζεται· διότι τὸ ἐπίχρισμα, ἐφ' οὗ τὸ ἀντίγραφον τοῦ Δ΄ χρυσοβούλλου, καλύπτει, ὡς ὑποφαίνεται ὅπου

(1) Acta et Diplomata I, CCXXIII.

τὸ ἐπίχρισμα ἔχει καταπέσῃ, βασιλικήν τινα ὑπὲρ τῆς Μονῆς διαταγήν, ἴσως οὐχὶ χρυσόβουλλον, ἐπειδὴ καὶ τοῦτο ἤθελεν ἐπιβραβεύει τῇ Μονῇ κτήσεις καὶ παροίκους, οὐδαμῶς δὲ ἦτο δυνατὸν νἀκαλυφθῇ ὑπὸ τῶν μοναχῶν περὶ πλείστου ποιουμένων, πάνυ δικαίως, τὰ χρυσόβουλλα ταῦτα. Πιθανώτατα λοιπὸν καλύπτεται τὸ ἕτερον τῶν προσταγμάτων, περιττὸν κατὰ τοὺς μοναχοὺς καταστὰν μετὰ τὴν ἔκδοσιν χρυσοβούλλου λόγου περὶ τῶν αὐτῶν καὶ τὸ πρόσταγμα διαλαμβάνοντος.

Τῶν τεσσάρων δὲ δημοσιευομένων χρυσοβούλλων παλαιότατος εἶναι ὁ ἐπὶ τοῦ ἀριστερὰ τῷ εἰσιόντι τοίχου ἀντιγεγραμμένος ἐκ στίχων πεντήκοντα τριῶν. Ἔχει δὲ φθαρῇ κατὰ τὰ ἄκρα μέν, ὅπου αἱ γωνίαι τοῦ τοίχου, πολλαχοῦ ὑπό τε τοῦ εὐρῶτος καὶ τινων ἄλλων φθορῶν, κατὰ τὸ μέσον δὲ μέχρι τῆς βάσεως ἐλλείπει ἐκ μεγάλης κατακρημνίσεως τοῦ ἐπιχρίσματος. Ἀλλ' εὐτυχῶς συνεπλήρωσα τὸ ἐλλεῖπον κατὰ πάντα σχεδὸν ἐκ τοῦ β'. Καὶ τοῦτο τὸ μέρος εἶναι τὸ ἀσφαλέστατα ἔχον τοῦ ὅλου· διότι τὸ ὑπόλοιπον τὸ κατὰ χώραν κείμενον ἐκ τῶν πολλῶν, ὡς εἴπομεν, φθορῶν τοῦ εὐρῶτος, τῆς κατακρημνίσεως, τῆς ἀποσβέσεως πολλαχοῦ κατέστη δυσνόητον καὶ εἰς πολλὰς ἀμφιβολίας περὶ τῆς ὀρθῆς ἀναγνώσεως καὶ εἰς ζητήσεις καὶ εἰκασίας ἐνέβαλέ με. Δὲν σώζεται δὲ ἀτυχῶς ὁ χρόνος, ἀλλὰ βεβαιότατα ἀπελύθη πρὸ τοῦ 1282, ἔτους τοῦ θανάτου τοῦ Μιχαήλ. Ἐκ τούτου δὲ ἀσφαλῶς κρίνομεν ὅτι εἴκοσιν τοὐλάχιστον ἔτη πρὸ τοῦ χρόνου, καθ' ὃν φαίνεται πρόεδρος Λακεδαιμονίας ὁ Νικηφόρος, ἤκμαζεν ἡ Ἑλληνικὴ ἐκκλησία ἐν τῇ νοτιοανατολικῇ Πελοποννήσῳ, ἣν κατὰ τὰ χρυσόβουλλα πατριαρχικὰ ἔξαρχοι διέτρεχον, καὶ ὅτι ὁ Haymon(1) θὰ ἦτο μητροπολίτης Λακεδαιμονίας μετὰ τὴν εἰς τοὺς Ἕλληνας παράδοσιν τοῦ Μυστρᾶ, ὅσον καὶ ὁ Νικηφόρος ἦτο τῆς ἐν Κρήτῃ Γορτύνης.

Ἐπὶ τοῦ ἀπέναντι δὲ τῆς εἰσόδου τοίχου εἶναι ἀντιγεγραμμένος ὁ Β' κατὰ χρόνους χρυσόβουλλος λόγος ἐκ στίχων πεντήκοντα ἕξ, πολλῷ ἐλάσσονας τοῦ πρώτου ἔχων φθοράς, ὑπὸ τοῦ αὐτοκράτορος Ἀνδρονίκου Παλαιολόγου τοῦ Γέροντος τῷ 1319 ἀπολυθείς. Ὁ λόγος οὗτος πλὴν τοῦ προοιμίου καὶ ἐλαχίστου μέρους, κατὰ τὸν τεσσαρακοστὸν τέταρτον καὶ τεσσαρακοστὸν πέμπτον στίχον, ἀναφερομένου εἰς τὴν

(1) Ἀνωτέρω σελ. 447.

προσαγωγὴν ἐλευθέρων ἀπὸ τοῦ μέρους τῆς Λατίνης, κατὰ τὰ λοιπὰ εἶναι σχεδὸν ὁ αὐτὸς τῷ πρώτῳ.

Εἶναι δ' ἐν αὐτῷ ἄξιον μάλιστα μελέτης τοῦτο. Πάντες οἱ ἱστορικοὶ ἀναγράφουσιν ὅτι ὁ Ἀνδρόνικος ἀναγκασθεὶς ὑπὸ τῶν μοναχῶν καὶ τῶν λοιπῶν πολεμίων τοῖς λατινίζουσι καὶ μάλιστα τῷ πατριάρχῃ Ἰωάννῃ τῷ Βέκκῳ, φίλῳ τοῦ Μιχαήλ, ἀφῆκεν ἄνευ μεγαλοπρεποῦς ταφῆς τὸν πατέρα αὐτοῦ καὶ κατηράσθη ὡς βουλόμενον νὰ ὑποβάλῃ τὴν ὀρθόδοξον ἐκκλησίαν ὑπὸ τὴν δυτικήν. Ἀλλ' ἐν τῷ χρυσοβούλλῳ τούτῳ πολὺ ἐναντία ὁρῶμεν· διότι ὁ Ἀνδρόνικος ἀρχόμενος μὲν λέγει· «Οὐδὲν οὐδενὶ τοσοῦτον κόσμου καὶ σπουδῆς μετέχειν ἔδοξεν ὡς τῇ Βασιλείᾳ Μου . . . τῷ αὐθέντῃ καὶ βασιλεῖ τῷ πατρὶ Αὐτῆς *ταὐτὰ φρονεῖν*, ταὐτὰ φθέγγεσθαι, *τῶν αὐτῶν καὶ βουλευμάτων καὶ θεσπισμάτων ἀπρὶξ ἔρχεσθαι*, σὺν αἰδοῖ καὶ *φίλτρῳ* γίνεσθαι, ὥσπερ *μία τις συμφωνία καὶ κρᾶσις μουσικὴ* χειρὶ Θεοῦ καὶ δυνάμει *καλῶς ἡρμοσμένη καὶ διὰ βίου παντὸς* κινουμένη». Πολλαχοῦ δὲ τοῦ χρυσοβούλλου ἐγκώμια λέγει τῷ πατρὶ ὡς ἀρετὴν ὑπὲρ πάντας ἀνθρώπους σεβομένῳ καὶ τιμῶντι, πάνυ δὲ δικαίως ἐπαινεῖ ὡς πάντα θεοσεβῶς καὶ φιλοτίμως, πάντα κοινωφελῶς κατὰ τὸν βίον πραγματευόμενον καὶ πράττοντα τὸν ἀπελευθερώσαντα τὴν Λακωνικὴν ἀπὸ τῶν Φράγκων, τὸν ἀνακτησάμενον τὴν Κωνσταντινούπολιν. Ἀλλ' ἴσως ἤθελέ τις ἀντείπῃ ὅτι μετὰ πάροδον τριάκοντα ἓξ ἐτῶν οἱ μισοῦντες τὸν Μιχαὴλ κατέπεψαν τὸν χόλον αὐτῶν καὶ ὁ υἱὸς ἠδύνατο νὰ ἐκφρασθῇ περὶ τοῦ πατρός, ὥσπερ ἡ υἱικὴ στοργὴ ὑπηγόρευεν αὐτῷ.

Ἐν τοῖς φιλοστόργοις δὲ τούτοις ἐγκωμίοις τοῦ Ἀνδρονίκου πρὸς τὸν ἑαυτοῦ πατέρα Μιχαὴλ γίγνεται μνεία πῇ μὲν ἑνός, (ἀνωτ. σελ. 469, στ. 18 καὶ 27), πῇ δὲ πλειόνων χρυσοβούλλων λόγων (ἀνωτ. σελ. 470, στ. 10 καὶ σελ. 473 στ. 16) τοῦ Μιχαὴλ ἐπιβραβευθέντων τῇ Μονῇ τῆς Ὁδηγητρίας. Καὶ ὑποθέτομεν μὲν ὅτι ὁ πληθυντικὸς ἔχει ῥηθῇ ἐκ μεγαληγορίας ἐπαιρούσης τὸ ἔγγραφον τοῦ πατρός, ὥσπερ λέγει ὡσαύτως ὁ Ἀνδρόνικος προστάγματα ἀντὶ πρόσταγμα. Ἀλλ' ὁπωσδήποτε κρίνομεν ἐκ τῆς μνείας ταύτης ὅτι ὁ ἐπικυρωτικὸς οὗτος λόγος Ἀνδρονίκου τοῦ Β' *ὁ συμφωνῶν καὶ συνεπιστηρίζων* «τὴν εὐδοκίαν καὶ τὸν ὁρισμὸν τοῦ χρυσοβούλλου λόγου» τοῦ πατρὸς αὐτοῦ Μιχαήλ, ἀναφέρεται εἰς τὸν πρῶτον τῶν ὑφ' ἡμῶν δημοσιευομένων χρυσοβούλλων. Ἐκ τούτου δὲ προφανέστατον ὑπολαμβάνομεν, ὅτι ὁ πρῶτος οὗτος

τῶν χρυσοβούλλων, ὁ στερούμενος χρόνου καὶ τοῦ ὀνόματος τοῦ ἀπολύσαντος αὐτὸν, ἐπεβραβεύθη τῇ Μονῇ ὑπὸ τοῦ πατρὸς τοῦ Ἀνδρονίκου Μιχαήλ.

Ὁ δὲ τρίτος τῶν χρυσοβούλλων εἶναι ἀντιγεγραμμένος ἐπὶ τοῦ δεξιὰ τῷ εἰσιόντι τοίχου, παρ' ὃν διὰ κλίμακος ἐρηριμμένης ἤδη ἀνήρχοντο ἐπὶ τὴν γυναικωνίτιδα. Εἶναι δὲ τρίτος κατὰ χρόνους ἀπολυθεὶς ὑπὸ τοῦ αὐτοῦ Ἀνδρονίκου τοῦ Γέροντος τῷ 1320, ἐνιαυτὸν μετὰ τὴν ἐπιβράβευσιν εἰς τὴν Μονὴν τοῦ δευτέρου τῶν δημοσιευομένων χρυσοβούλλων. Αἱ φθοραὶ δ' ἐν αὐτῷ εἰσὶν ἐλάσσονες ἢ ἐν πᾶσι τοῖς ἄλλοις ἀντιγράφοις, εἶναι δὲ καὶ βραχύτερος τῶν λοιπῶν συνιστάμενος ἐκ στίχων τριάκοντα καὶ πέντε.

Ἐπὶ τοῦ τοίχου δέ, δι' οὗ ἡ εἴσοδος εἰς τὸ δωμάτιον, διασώζεται ἀλώβητον κατὰ τὸ πλεῖστον ἀντίγραφον, ἐκ στίχων τεσσαράκοντα ὀκτώ, τοῦ τετάρτου χρυσοβούλλου λόγου ἀπολυθέντος πιθανῶς τῷ 1321, ἐνιαυτὸν ἀπὸ τοῦ 1320, ὅτε Ἀνδρόνικος Παλαιολόγος ὁ Ἀσὰν ἀνακτησάμενος ἀπὸ τῶν Φράγκων ἅπασαν σχεδὸν τὴν Μεσσηνίαν καὶ πολὺ τῆς Ἀρκαδίας ἐδωρήσατο τῇ Μονῇ τῆς Ὁδηγητρίας ἐξ ἑκατέρας τῶν χωρῶν τούτων κτήσεις εὐρείας, ἃς ὁ αὐτοκράτωρ ἐπιβραβεύει τῇ Μονῇ προσαιτησαμένου τοῦ πολὺ ἴσως συντελέσαντος εἰς τὴν νικηφόρον ταύτην στρατείαν μακαρίου τῆς Μονῆς ἡγουμένου, τοῦ δεομένου καὶ ἐργαζομένου ὑπὲρ τῆς ἐξώσεως τῶν Φράγκων ἀπὸ τῆς Πελοποννήσου Παχωμίου. Ὅτι δὲ τὸ τέταρτον τοῦτο χρυσόβουλλον εἶναι τὸ τρίτον τῶν ὑπὸ τοῦ Ἀνδρονίκου ἐπιχορηγηθέντων τῇ Μονῇ, μεταγενέστερον τοῦ τρίτου τῶν δημοσιευομένων (1320), δηλοῦται οὐ μόνον ἐκ τῆς μνείας τοῦ Ἀνδρονίκου Παλαιολόγου (1) καὶ τῶν ὑπ' αὐτοῦ κατακτηθεισῶν χωρῶν, ἀλλὰ καὶ ἐκ τῆς ἐν τῷ τετάρτῳ χρυσοβούλλῳ ῥήσεως «ἡ Βασιλεία Μου.... προστάσσει καὶ διορίζεται κεκτῆσθαι ταύτην πρὸς τοῖς ἄλλοις τοῖς παρ' αὐτοῖς κατεχομένης *διὰ τῶν ἐπιχορηγηθέντων* αὐτῇ *χρυσοβούλλων τῆς Βασιλείας Μου*».

Παραχωροῦντες τὰ εἰς τοὺς νόμους ἀναφερόμενα χωρία τοῖς πε ταῦτα διατρίβουσι καὶ τοῖς λεξικογράφοις τὰς τὸ πρῶτον ἤδη ἀπαν

(1) Περὶ Ἀνδρονίκου Παλαιολόγου ὅρ. Παπαρρηγ. Ἱστ. ἑλλην. ἔθν. τόμ. Ε', σελ. 217

τώσας λέξεις, ὧν περί τινων μόνον διελάβομεν, σημειωτέα κρίνομεν καὶ τάδε. Ὅτι διὰ τῆς ἐν τῷ Α' χρυσοβούλλῳ ῥήσεως «τοῦτο καὶ *πάλαι μὲν τοῖς ἄνω χρόνου πρὸ ἡμῶν βασιλεύουσιν* ἱκανῶς διῴκηται» ὑποσημαίνει, κατά γε τὴν ἐμὴν γνώμην, ὁ Μιχαὴλ τοὺς πρὸ τῆς λατινικῆς καταχτήσεως Ἕλληνας βασιλεῖς. Ὅτι δεύτερον ἡγούμενον τῆς Ὁδηγητρίας μετὰ τὸν Παχώμιον γνωρίζομεν τὸν Κυπριανὸν (1366) ἔκ τινος τῆς συλλογῆς τῶν Miklosich καὶ Müller (I, CCXXIII) σιγιλίου, ἐν ᾧ καὶ τὸ ὄνομα τῆς Μονῆς *Ὁδηγήτρια τοῦ Βροντοχίου* φέρεται καὶ πάροικοί τινες αὐτῆς ὀνομάζονται. Τῶν δὲ κατονομαζομένων ἀνδρῶν καὶ τόπων ἐκείνων μὲν οὐδένα ἄλλοθεν ἀτυχῶς γινώσκομεν, περὶ δὲ τῶν τόπων σημειούμεθα ταῦτα.

Ἡ *Καλογωνία* σήμερον εἶναι χωρίον τοῦ δήμου Σπάρτης. Ἡ *Ἀνδροῦσα* εἶναι ἡ γνωστὴ ἐν Μεσσηνίᾳ κώμη πρωτεύουσα τοῦ δήμου Εὔας, ἐν ᾧ *Λιγύδη* καλεῖται καὶ τὸ μονύδριον καὶ τὸ παρ' αὐτῷ ῥεῦμα. Ὁ *Πασαβᾶς* κώμη γνωριμωτάτη τοῖς χρονογράφοις ἀπὸ τῶν χρόνων τῆς ὑπὸ τῶν Φράγκων καταχτήσεως τῆς Λακωνικῆς εἶναι νῦν χωρίον τοῦ δήμου Καρυουπόλεως. Τὸ *Ἄστρον*, νῦν Ἄστρος ἡ ἑτέρα τῶν πρωτευουσῶν τοῦ δήμου Θυρέας, εἶναι ἡ γνωριμωτάτη ὡσαύτως τοῖς χρονογράφοις τοῦ βυζαντιακοῦ κράτους κώμη. Ἡ *Μαλεβὴ* εἶναι καὶ νῦν ἐν τῷ δήμῳ Πάρνωνος, ἔνθα καὶ ὁμώνυμος Μονὴ ἐπ' ὀνόματι τιμωμένη τῆς Κοιμήσεως τῆς Θεοτόκου. Ἡ *Ζοῦρτζα*, νῦν κώμη πολυάνθρωπος, εἶναι πρωτεύουσα τοῦ δήμου Φυγαλίας, οὗ χωρία εἰσὶν ἡ *Μουντρά*, γνωστὴ ἀπὸ τοῦ βιβλίου τῆς Κουγκέστας (1) καὶ τὸ *Πρατζιδάκι*. Ἡ *Πισσιάνα* ἢ *Πισσιὰ* εἶναι ἴσως τὸ τοῦ ἐν Τριφυλίᾳ δήμου Αὐλῶνος χωρίον Πιτσιά. Ἡ *Καρύταινα* εἶναι ἡ νῦν πρωτεύουσα τοῦ δήμου Γόρτυνος, ἡ δὲ παρ' αὐτὴν ἀναφερομένη *Νέα Μονὴ* εἶναι βεβαιότατα ἡ νῦν καλουμένη *Ἁγία Μονή*· ἡ μικρὰ δὲ τοῦ ὀνόματος μεταβολὴ δὲν εἶναι μοναδική, δύναται δὲ νὰ ἴδῃ ὁ ἀναγνώστης τοῦτο καὶ κατωτέρω (σελ. 493) ἐν ταῖς ἐπιγραφαῖς τῆς Ναυπλίας.

Βρυσιώτης δὲ ποταμὸς ἐκαλεῖτο πιθανώτατα ὁ παρὰ τὸ ἐκεῖσε χωρίον τὴν Βρύσιν ῥέων. Ἄγνωστον δὲ ποῖον εἶναι τὸ ἐν τοῖς χρυσοβούλλοις μνημονευόμενον *Μουχλὶ* (ἐν τῷ Β' χρυσοβούλλῳ Μοχλί)· τὸ παρὰ τὸ Παρθένιον, σήμερον καλούμενον Παλαιὸ Μουχλί, παρὰ τὴν μεταξὺ Ἄργους καὶ Τριπόλεως ἁμαξιτόν, οὐδαμοῦ ἔχει ὕδατα

(1) *Buchon*. Recherches historiques II, σελ. 193.

διὰ μυλῶνας, καὶ ἡ Ἀρκαδία, ἔνθα τὸ Μουχλί, οὔπω ἐτέλει κατ' ἐκεῖνο τοῦ χρόνου ὑπὸ τοὺς Παλαιολόγους. Καὶ ὁ ἐνταῦθα δὲ μνημονευόμενος *Χελμὸς* πιθανώτατα δὲν εἶναι τὸ κατὰ τὴν βορειοτάτην Ἀρκαδίαν ὄρος, ἀλλ' ἴσως ὑψηλός τις βουνὸς κατὰ τὰ ὅρια τῆς Λακωνικῆς καὶ τῆς Μεγαλοπολίτιδος, ὑφ' ὃν πρὸς τὴν Λακωνικὴν εἶναι ἱκανὴ ἀρόσιμος γῆ. Σημειούμεθα δὲ ὅτι *Σκορτὰ* ἐκαλεῖτο ἡ μεταξὺ Μεσσηνίας καὶ νοτιοδυτικῆς Ἀρκαδίας χώρα, ὁ Δρόγγος τῶν Σκορτῶν, γνωστὸς ἀπὸ τοῦ βιβλίου τῆς Κουγκέστας(1), καὶ ὅτι ἡ *Καλογωνία*, ἡ περὶ τοὺς *Καλυβίτας* γῆ ἡ ἀνήκουσα τῇ Μονῇ καὶ τὸ μετόχιον τοῦ *Καυσαλοῦ* μνημομονεύονται καὶ ἐν τῷ τῆς συλλογῆς Miklosich καὶ Müller σιγιλλίῳ, περὶ οὗ διελάβομεν ἀνωτέρω, ἔνθα περὶ τοῦ μετοχίου λέγεται, ὅτι πρὸ τῆς κατακτήσεως τῶν Λατίνων «ἐτέλει καθ' ἑαυτὸ ἐν αὐτονομίᾳ καὶ ἐξουσίᾳ ἰδίᾳ μονή τις ὁλόκληρος οὖσα καθ' ἑαυτὴν καὶ μεγάλη», ἀναφέρονται δ' ἐν τῷ σιγιλλίῳ, ὀνομάζοντι τὸ μονύδριον *Καψαλούς*, καὶ αἱ περὶ αὐτοῦ ἐνέργειαι τοῦ ἡγουμένου τῆς Ὁδηγητρίας Κυπριανοῦ.

Ὑπολείπεται νὰ εἴπωμεν βραχέα τινὰ περὶ τοῦ ὀνόματος τῆς πολλάκις μνημονευομένης ἐν τοῖς χρυσοβούλλοις θεοσώστου πόλεως Μυζηθρᾶ. Τὸ ὄνομα πολλαχοῦ μὲν τῶν χρυσοβούλλων φέρεται *Μυζηθρᾶς* ἐν δὲ τῷ Δ' *Μουζηθρᾶς*. Πλὴν δὲ τῆς διαφορᾶς ταύτης ἔν τινι σιγιλλίῳ τῆς συλλογῆς Miklosich καὶ Müller (I, CCXIV) καλεῖται ἡ πόλις *Μιζισθρός*, ἐν τῷ *Μικρῷ Χρονικῷ Μεζηθρᾶς* καὶ ἐν τῷ βιβλίῳ τῆς Κουγκέστας Μιζιθρᾶς Μυζιθρᾶς καὶ Μεζιθρᾶς(2). Περὶ δὲ τοῦ ἐτύμου τοῦ ὀνόματος πολλὰ μὲν ἀσύστατα ἐρρήθησαν, οὔπω δέ τι βέβαιον· κοινῶς δὲ εἶναι παραδεδεγμένον ὅτι τὸ ὄνομα ἐδόθη ὑπὸ τῶν κατακτησάντων τὴν Λακεδαίμονα Φράγκων. Κατὰ τὴν ἡμετέραν γνώμην ἐκάλεσεν οὕτω τὸν παρὰ τὸν Εὐρώταν ὑψηλὸν βουνὸν πιθανῶς Ἕλλην τις κτήτωρ πρὸ τῆς λατινικῆς κατακτήσεως Μυζηθρᾶς καλούμενος, ἄγνωστον μὲν τίς ὢν καὶ πότε καὶ πῶς κτησάμενος αὐτόν, ὅτε βεβαίως ἔκτισε καὶ τιμαριωτικὸν πύργον, ἀπολέσας δὲ τὴν κτῆσιν αὐτός, ἂν ἀπεβίω, ἢ οἱ ἀπόγονοι αὐτοῦ, ὅτε Γουλιέλμος ὁ Βιλλαρδουῖνος κατέκτησε τὴν Λακωνικὴν καὶ ὡς ἐπιτειχίσματα ἐν αὐτῇ ἔκτισε, πλὴν τῶν τειχῶν τοῦ Λεύκτρου καὶ τῆς Μαίνης, ὅλην

(1) *Buchon* Rech. hist. II, σελ. 67 καὶ ἄλλοθι

(2) Σελ. 111, 178, 242 καὶ ἄλλοθι.

ἀκρόπολιν ἐπὶ τοῦ Μυζηθρᾶ. Ὅτι δὲ τὸ ὄνομα Μυζηθρᾶς ἦν εὔχρηστον ἐν Ἑλλάδι πρὸ τῆς εἰσβολῆς εἰς αὐτὴν τῶν ἀπὸ δυσμῶν πολεμίων, μαρτυροῦσι σιγίλλια δύο τῆς συλλογῆς Miklosich καὶ Müller (IV, σελ. 218 καὶ 219), ἐν οἷς ἀναγράφεται τὸ ὄνομα τοῦ ἐν Σμύρνῃ ἱερέως Λέοντος Μουζηθρᾶ, ζῶντος περὶ τὸ 1210 ἔτος, δηλαδὴ συγχρόνου περίπου τῆς ἱδρύσεως τοῦ κατὰ τὴν Ἑλλάδα ὀλεθρίου φραγκικοῦ κράτους. Ὅτι δὲ ἐκ τοῦ ὀνόματος ἑνὸς ἀνδρὸς ἦτο δυνατὸν νὰ κληθῇ χωρίον τι καὶ κατ' ἐκεῖνον τὸν χρόνον, ὅπως καὶ μεταγενέστερον, οὐδεμία ἀνάγκη νομίζομεν εἶναι νὰ προσθέσωμεν ἀποδείξεις.

ΕΠΙΓΡΑΦΑΙ ΝΑΥΠΛΙΑΣ

Τῷ 1686 Φραγκίσκος ὁ Μοροζίνης ἐγένετο μετὰ ἱκανῶς μακρὰν πολιορκίαν καὶ πολὺν φόνον καὶ μεγάλους κινδύνους (1) κύριος τοῦ Ναυπλίου. Τῆς ἐπικαίρου καὶ φύσει ὀχυρᾶς θέσεως ἐκρίθη καλὸν ἡ ὀχύρωσις ν' ἀνακαινισθῇ καὶ συμπληρωθῇ διὰ περιβόλων, τάφρων, πύργων καὶ ἰσχυροτέρας ἀκροπόλεως, ἅτινα ἤθελον καταστήσῃ αὐτὴν κατὰ τὴν γνώμην τοῦ ἐπιτελείου τῶν Βενετῶν ἀπόρθητον, τὸ δὲ Ναύπλιον κτῆμα εἰς ἀεὶ τῆς Βενετίας. Ἀλλ' ἡ κτῆσις αὕτη δὲν ἦτο δυνατὸν νὰ εἶναι αἰωνία· ἀπώλεσαν αὐτὴν οἱ Βενετοί, ὅπως πρὸ αὐτῶν οἱ Ἕλληνες βασιλεῖς, ὁ Λέων Σγουρός, οἱ Φράγκοι, οἱ Ἀκκιαγιόλαι καὶ οἱ Τοῦρκοι. Τῷ 1714 ὁ Βεζύρης Ἀλῆ Κουμουρτζῆς, συντελούσης καὶ τῆς προδοσίας, εἷλε *τοῦτο τῆς ἀθανασίας τὸ μνημεῖον* (2), ὀλιγώτερον δὲ τοῦ ἐκμήνου κατέβαλεν ἅπαν τὸ κράτος,

(1) Κατὰ τὴν δευτέραν μάχην τὴν γενομένην ἔξω τοῦ Ναυπλίου ὁ μὲν Μοροζίνης περιφανῶς ἀγωνιζόμενος πολλάκις ἐκινδύνευσεν, ὁ δὲ Κοίνιξμαρκ ὁρμῶν ἐν τοῖς προμάχοις ἐπληγώθη καταπεσὼν ἀπὸ τοῦ ἵππου τρωθέντος. Arrighius· de Vita et rebus gestis Fr. Morozini σελ. 325 καὶ 331. — Coronelli· description Geographique et historique de la Morée etc. II, σελ. 148-149.

(2) «Hoc æternitatis monumentum». Ὅρα ἐπιγραφὴν 2.

ὅπερ σὺν ἱδρῶτι πολλῷ καὶ πόνῳ ἠνώρθωσεν ὁ πολύτλας Μοροζίνης ὁ Πελοποννησιακός(1). Ἐκ τῆς τριακονταετοῦς δὲ ἐκείνης ἀρχῆς τῶν Βενετῶν ἐν Πελοποννήσῳ δὲν ἀπέμειναν ἀλλ' ἢ τὰ σύμβολα τοῦ βενετικοῦ κράτους. ὁ λέων τοῦ Ἁγίου Μάρκου, ὁ δουκικὸς πῖλος καὶ ἄλλα τοιαῦτα καὶ ἐπιγραφαὶ δηλοῦσαι τὸ ἔτος τῆς ἱδρύσεως τῶν τειχῶν ἢ ἄλλων κτισμάτων.

1) Ἐκ τῶν δέκα περίπου λεόντων τῶν ἐντετειχισμένων ἐπὶ τοῦ περιβόλου τῆς πόλεως, τοῦ Ἴτσ-Καλὲ καὶ τοῦ Παλαμηδίου (2) οἱ πλεῖστοι ἔχουσιν ἠνεῳγμένον εὐαγγέλιον μετὰ τῆς λατινικῆς ῥήσεως

PAX	EVAN
TIBI	GELI
MAR	STAME
CE	VS

2) Μικρὸν δ' ἀριστερὰ τῷ εἰσιόντι εἰς τὴν πόλιν διὰ τῆς *Πύλης τῆς Στεριᾶς* ὡς ὑπέρθυρον παλαιοτέρας πύλης κλεισθείσης διὰ τοίχου ἀνάκειται ἡ κατωτέρω ἐπιγραφή, ἥτις ἔχει μὲν δημοσιευθῆ ὑπὸ τοῦ Buchon, ἀλλ' ἐπειδὴ μικρά τινα ἔχει ἐκεῖνος ἀβλεπτήματα κατὰ τὴν ἀντιγραφήν, μάλιστα δέ, ἵνα πάσας τὰς ἐκ Ναυπλίου ἐπιγραφὰς καταχωρίσωμεν ἐνθάδε, δημοσιεύομεν καὶ ἡμεῖς αὐτήν·

Post urbes arcesque expugnatas valideque munitas post sexies fugatos hostes hoc regnum patriæ restituit

(1) «Hoc regnum partiæ restituit Fr. Maurocenos». Ὅρ. ἐπιγρ. 2.

(2) Ὅτε ἐγένοντο ἐγκρατεῖς τοῦ Ναυπλίου οἱ Φράγκοι (μ. Χ. 1247) ὁ μὲν νῦν καλούμενος Ἴτσ-καλὲς ὠνομάσθη Ῥωμαίικον (κάστρον), τὸ δὲ Παλαμῆδι Φράγκικον. Ὁ Δωρόθεος λέγει περὶ τούτου· «Καὶ αὐτὰ τὰ δύο κάστρη ὁποῦ τὸ ἕνα εἶναι πρὸς τὸ μέρος τῆς ἀνατολῆς ἐλέγετο Φράγκικον, τὸ δὲ ἄλλο ὁποῦ ἦτον εἰς τὰ μέρη τῆς δύσεως ἐλέγετο Ρωμαίικον· καὶ ἔτζι ὀνομάζονται ἕως τὴν σήμερον» (1547). Ὅρα καὶ Buchon· La Grèce continentale etc. σελ. 38.

Franc^us^ Maurocenos Capitanus sup(rem)^us^ arm(at)u(1) moderator
et Alexander Bono maximæ triremis gubernator
hoc ætermitatis monumentum posuit
A(nno) D(omini) MDCLXXXVII.

Τὸ μνημεῖον ἱδρύθη τῷ 1687, μετὰ τὴν ἅλωσιν τῆς Πελοποννήσου, κατὰ τὴν τῷ ἔτει τούτῳ πολιορκίαν τῆς Μονεμβασίας καὶ βεβαίως πρὸ τοῦ ἀπόπλου τοῦ στόλου διὰ τὸν Πειραιᾶ, ἴσως δὲ καὶ πρὶν ἀνακηρυχθῇ ὑπὸ τῆς Βενετικῆς συγκλήτου ὁ Μοροζίνης Πελοποννησιακός. Ἄλλως ὁ μεγαλορρήμων κατακτητὴς τῆς Πελοποννήσου δὲν θὰ ἐπεγράφετο supremus armatu moderator, ἀλλὰ Peloponnesiacus, ὥσπερ ἐπὶ τοῦ βάθρου τοῦ ἀπὸ τοῦ Πειραιῶς ἁρπαγέντος λέοντος (2).

Περὶ δὲ τοῦ ἀναγραφομένου κυβερνήτου τῆς στρατηγίδος νεὼς Ἀλεξάνδρου Βόνου γνωρίζομεν ὅτι ὁ οἶκος αὐτοῦ (Bon S. Giustina) προήρχετο ἐκ Βολωνίας, κατεστάθη δ' ἐν Βενετίᾳ ἐπὶ τοῦ δόγου Badœr, κατελέχθη δὲ εἰς τοὺς πατρικίους καὶ εἰς τὴν Βουλὴν (Maggior consilio) τῷ 1297 καὶ ἀνέδειξεν ἐξ ἑαυτῆς ἄνδρας διακριθέντας ἔν τε πολέμῳ καὶ ἐν εἰρήνῃ. Ὁ δὲ Ἀλέξανδρος οὗτος εἶναι πιθανὸν ὁ τῷ 1714 καταλεγόμενος εἰς τοὺς βουλευτὰς υἱὸς δὲ τοῦ Φραγκίσκου Βὸν καὶ Θηρεσίας Βάλβη (Balbi S. Stefano)(3).

3) Ἐπὶ τοῦ τοίχου οἰκοδομήματός τινος τῶν ἐν τῇ αὐλῇ τοῦ ὁπλοστασίου εἶναι ἐντετειχισμένη πλὰξ μετὰ τῆς ἐπιγραφῆς

AVGVSTINVS SAGREDO
PROV(isor) CL(ass)IS MARIS
A FVNDAMENTIS EREXIT
ANNO MDCCXIII

(1) Ὁ Buchon· «arm^um^».

(2) Arrighius σελ. 347.—Fanelli Atene, Attica εἰκόνες ἐν σελ. 344.—Ὅρα καὶ ἡμετέραν διατριβὴν «Ἡ καταστροφὴ τοῦ Παρθενῶνος ὑπὸ τῶν Βενετῶν καὶ ἡ ἐρήμωσις τῶν Ἀθηνῶν» σελ. 15.

(3) Πλείονα ἴδε παρὰ *Schroeder*· Repertorio Genealogico delle Famiglie etc. —*Novo libro d'oro* che contiene nomi e l'eta de Veneti patrizi.—*Locatelli*· Baconto historico della Veneta guerra in Levante etc. I, σ. 139, II, σ. 139.

4) Ὑπὲρ τὴν μέσην ἀψῖδα τῆς στοᾶς τοῦ κατὰ τὴν ἄνω πλατεῖαν στρατῶνος μαρμαρίνη πλὰξ ἔχει κεχαραγμένην τὴν ἐπιγραφήν·

PROMPTVARIVM CLASSIS
AD VRBIS VTILITATEM ET ORNAMENTVM
AVG(VSTINVS) SAGR(EDO) PROV(isor) CLASSIS MARIS
MAGNIFICE EDIFICAVIT
ANNO MDCCXIII

5) Ὑπὲρ τὴν πρὸς βορρᾶν πύλην τοῦ Ἴτσ-Καλὲ εἶναι ἐπὶ μαρμαρίνης πλακὸς ἡ ἐπιγραφή·

MILITVM COMMODO
AVGVSTINVS SAGREDO PROV(isor) CL(ass)IS MARIS
COMPENDIO VIARVM
FIER(I CVRAVIT)
ANNO MDCC(XIII)

6) Ὑπὲρ τὴν θύραν τῆς ἐπὶ τοῦ Παλαμηδίου τάπιας τοῦ Ἁγίου Ἀνδρέου εἶναι ἐντετειχισμένη ἐπιγραφή, οὐχὶ λίαν εὐανάγνωστος διά τε τὸ ὕψος καὶ τὸ ἀμαυρὸν τοῦ μαρμάρου, ἀλλὰ πιθανῶς ἔχουσα οὕτως·

AVGVSTINVS SAGREDO
(provisor classis maris
a fundamentis erexit).
ANNO MDCCXII

Ὁ ἐν ταῖς ἄνω τέσσαρσιν ἐπιγραφαῖς ἀναφερόμενος Αὐγουστῖνος Σαγρέδος εἶναι ὁ ἀπὸ τοῦ Locatelli (1) γνωστὸς προνοητὴς τοῦ στόλου. Ἀνήκων εἰς ἐπισημοτάτην τῆς Βενετίας γενεὰν (Sagredo S. Stin), ἀπὸ τοῦ 480 μ. Χ. κατοικήσασαν ἐπὶ τῶν τεναγῶν τῆς Βενετίας, πλείστους δὲ ἀναδείξασαν ἄνδρας ἐνδόξους, ἐν οἷς τὸν ἅγιον Γεράρδρον Σαγρέδον καὶ τὸν Δόγην Νικόλαον Σαγρέδον, ἀνερρήθη

(1) II, 207 «proveditor dell'armata».

τῷ 1706 εἰς τὸ ἀξίωμα τοῦ γερουσιαστοῦ (1). Ὡς προνοητὴς δὲ τοῦ στόλου ἀνήγειρεν ἐκ βάθρων ἢ ἐπεσκεύασε τὰ πλεῖστα τῶν ὀχυρωμάτων τοῦ Ναυπλίου.

7) Παρὰ τὸν ὀδὸν τοῦ ἐν τῇ αὐλῇ τοῦ νοσοκομείου ναοῦ τοῦ Ἁγίου Πέτρου κεῖται τεθραυσμένη πλὰξ μετὰ τῆς ἐπιγραφῆς·

D(eo) O(ptimo) M(aximo)
HOC TEMPLVM D(ivo) ANTONIO
PATAV(ino) DICATV̌ RELIGIOTERT
ORD(o) SER(enissima) PRJS(ca;) S. FRANCI(sci)
DONO ACCEPIT
AB ILL(ustrisimo) ET ECC(ellentissimo) D(omi)NO
MAVROCENO EQUIT(e)
CIVI M(A)RCI PROCVRATORE
AC TER CO(NT)RA TVRCAS PRO
SER(enissima) REPVBL(ica) VENETA
IMPERATORE ET CONFIRMATV
FVIT AB ECCELL(entissim)O SENATV
A(nno) D(omini) M. DCLXXXVII

8) Ἐπὶ τοῦ ἐξωτερικοῦ τοίχου τοῦ περιβόλου τῆς πόλεως εἶναι ἐντετειχισμένη ἡ ἐπιγραφὴ

A. M.  . P. C.
M. D. C. C. X.

δηλαδὴ « Anno Mundi(;) Post Christum
MDCCX»

ἔτος καθ' ὃ βεβαίως ἐκτίσθη ὑπὸ τῶν Βενετῶν τὸ μέρος τοῦτο τοῦ

(1) *Novo libro d'oro* etc. — *Schræder*· Repertorio genealogico etc.

περιβόλου. Τί δὲ σημαίνει τὸ ἄνω σημεῖον δὲν ἠδυνήθημεν νὰ ἐξερευνήσωμεν.

9) Ἐπὶ τοῦ μύακος τοῦ ἐξωτερικοῦ τοίχου τοῦ ναοῦ τοῦ Ἁγίου Σπυρίδωνος εἶναι ἐπιγραφὴ εἰς στίχους τριμέτρους ἰαμβικούς, δηλοῦσα τὸν χρόνον τῆς ἱδρύσεως τοῦ ναοῦ, ἥδε

Νεὼς ὁ θεῖος Σπυρίδωνος θεσκέλου
νῦν ἐκ θεμέθλων συντόνως ἀνιδρύθη
ἐσθλῇ τε βουλῇ καὶ χορηγί' ἀφθόνῳ
ἀδελφότητος εὐσεβοῦς τε ἁπάσης.
Ἐν ἔτει ,ΑΨΒ'.

Μεταμόρφωσις τοῦ Σωτῆρος.

10) Ἡμιόλιον ὥρας ἀπὸ τοῦ Ναυπλίου ἀνατολικῶς τοῦ ὅρμου τῆς Καραθώνας ἵδρυται ἡ μονὴ τοῦ Σωτῆρος Χριστοῦ. Ἐκ τῶν ἐν τῷ περιβόλῳ αὐτῆς κτισμάτων τὰ μὲν κελλία ἔχουσι καταπέσῃ σχεδὸν πάντα, σώζεται δὲ ὑπερύψηλος πεντώροφος πύργος χρήσιμος πρὸς ἄμυναν τῶν μοναχῶν κατὰ τῶν ληστῶν τῆς θαλάσσης. Ὁ δὲ ναὸς τῆς μονῆς μέτριος τὸ μέγεθος καταλήγει εἰς ὀροφὴν ἐκ δύο ἀετωμάτων τεμνόντων ἄλληλα καὶ σχηματιζόντων ἄνωθεν μὲν σταυρόν, ἔσωθεν δὲ τοῦ ναοῦ θόλον ταπεινόν. Ἱδρύθη δὲ ὁ ναὸς ἴσως τῷ ΙΕ' αἰῶνι, ἐκοσμήθη δὲ πάλιν δι' εἰκόνων, ὧν τινες εἰσέτι διασώζονται κατὰ χώραν, τῷ 1570, ὡς μαρτυρεῖ ἡ ἐν τῇ δεξιᾷ ἀψῖδι τοῦ ναοῦ ἐπιγραφὴ ἥδε·

† Ἀνηστορίθη ὁ θεῖος καὶ πάνσεπτος ναὸς τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ διὰ συνδρομῆς καὶ κόπου κυρίου Μιχαὴλ Φανταλοῦρι εἰς ψυχικὴν αὐτοῦ σωτηρίαν καὶ τῶν αὐτοῦ γοναίων, πατριαρχεύοντος τοῦ παναγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυ(ρίου) Μητροφάνους, ἀρχιερατεύοντος τοῦ πανιερωτάτου Μητροπολίτου τῆς ἁγιωτάτης Μητροπόλεως Ναυπλίου καὶ Ἄργους κυρίου Διονυσίου. Ὁμίως καὶ κύ(ριος) Διονύσιος μοναχὸς καὶ Ἀνανήοι μοναχοῦ εἰς ψυχικὴν αὐτῶν σωτηρίαν ⟨καὶ⟩ τῶν αὐτοῦ γοναίων.
Ἐπὶ ἔτους ,ΖΟΗ' νεμήσ(εως) Γ
μηνὶ Νοευρίῳ κη'.

Ὁ ἐνταῦθα μνημονευόμενος πατριάρχης Μητροφάνης εἶναι ὁ ἀπὸ τοῦ 1565-1572 πατριαρχήσας τὸ πρῶτον, ὁ δὲ μητροπολίτης Διονύσιος εἶναι ὁ γνωστὸς ἀπὸ τῆς Τουρκογραικίας(1) τοῦ Κρουσίου, ἔνθα ἐπιστολή τις αὐτοῦ πρὸς Θεοδόσιον τὸν Ζυγομαλᾶν διασώζεται, ἑνδέκατος δὲ ἐν τῷ καταλόγῳ τῶν ἀρχιερέων Ἄργους ὑπὸ Lequien κατατασσόμενος (2).

Ἁγία Μονή.

Βορειοανατολικῶς τοῦ Ναυπλίου παρὰ τὴν Ἄρειαν ἵδρυται ἡ Ἁγία Μονή. Ἐν τῷ περιβόλῳ αὐτῆς εἰσὶ δύο ναοί, ὧν ὁ παρὰ τὴν αὔλειον θύραν μικρότερος δὲν εἶναι ἄξιος λόγου, μάλιστα δὲ θέας ἄξιος εἶναι ὁ ἐν μέσῳ τῆς αὐλῆς ἱδρυμένος μείζων, ἐκ τῶν καλλίστων ἀνὰ τὴν Ἑλλάδα κτισμάτων τῶν χριστιανικῶν χρόνων. Ἔχει μῆκος μὲν πλὴν τοῦ μύακος 18,25, πλάτος 8,40, ἔχει δὲ δύο θύρας μίαν μὲν τὴν κυρίαν πρὸς δυσμάς, ἑτέραν δὲ πρὸς βορρᾶν, εἰς ἃς ἀνέρχεταί τις διὰ κλιμάκων μετὰ ὑποστέγου ἐρειδομένου ἐπὶ τοῦ τοίχου τοῦ ναοῦ καὶ ἐπὶ κομψῶν κιόνων. Εἶναι δὲ ἐκτισμένος διὰ πώρων λίθων κατ' ἰσοδομίαν καὶ φέρει ἐπὶ τῆς προσθίας καὶ ἑκατέρας τῶν πλαγίων, τῶν μακροτέρων πλευρῶν, ἀνὰ δύο σταυροὺς μεγάλους λιθίνους, ἐστήρικται δὲ ἐπὶ τριβάθμου κρηπῖδος. Ἐσωτερικῶς δὲ διῄρηται εἰς πρόναον, εἰς νάρθηκα καὶ εἰς τὸν κυρίως ναόν, οὗ τὴν ὀροφὴν μετὰ τοῦ ὑψηλοῦ τρούλλου ἀνέχουσι στύλοι τέσσαρες ἐκ μαρμάρου φαιοῦ ἄνευ μὲν διαξεσμάτων, ἔχοντες δὲ καλὰ κορινθιακὰ κιονόκρανα.

Ὁ ναὸς καὶ ἡ ἄλλη μονή, τιμωμένη ἐπ' ὀνόματι τῆς ὑπεραγίας Θεοτόκου ἀπὸ τοῦ χρόνου τῆς ἱδρύσεως αὐτῆς, *Νέα Μονὴ* δὲ τότε καλουμένη, ἐκτίσθη ὑπὸ τοῦ ἐπισκόπου Ἄργους καὶ Ναυπλίου τῷ 1144, ὃς ἔταξε, κατὰ τὸ διασωθὲν περὶ τούτου ὑπόμνημα αὐτοῦ (3), ἐν τῷ ἱερῷ τούτῳ φροντιστηρίῳ α τὸν μοναδικὸν βίον ἀνύειν γυναῖκας τὰς αἱρουμένας ὑπέχεσθαι τὸν ζυγὸν τοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τὸν ἀριθμὸν τριάκοντα ἕξ. Καὶ μέντοι πρὸς τῇ τῆς καταμονῆς ἀναπαύσει

(1) Σελ. 320.
(2) Oriens christ. I σελ. 183 κἑξ.
(3) *Ἑλληνομνήμων*· φυλλ. 5, Μάϊος τοῦ 1843.—Miklosich et Müller· Acta etc. V, σελ, 178.

καὶ τὰ πρὸς ζωὴν ταύταις συνέταξεν, ὥστε εἰς τὸ ἀπέραντον ἔχειν αὐτάς, ὅθεν ταῦτα πορίσαιντο, ὡς μὴ τῇ τούτων ἐλλείψει διὰ τὴν ἀναγκαίαν τοῦ σώματος χρείαν ἀτόνως τὸν μοναδικὸν ἀνύωσι δρόμον, καὶ δι' ὑπομνήματος δὴ αὐταῖς τὸ εἶναι τὸ σεμνεῖον τοῦτο ἐλεύθερον πάσης ἐκκλησιαστικῆς καὶ ἀρχοντικῆς χειρὸς εἰς τὸν αἰῶνα τὸν ἅπαντα διετάξατο». Ἀλλ' ἐπειδὴ ἡ Μονὴ ἀπὸ τῆς παραλίας ἀπεῖχε πὴ μὲν μίαν, πὴ δὲ ἡμίσειαν ὥραν, λῃσταὶ δὲ θαλάσσιοι πιθανώτατα προσβαλόντες οὐ μόνον τὴν μονὴν ἤθελον λεηλατήσῃ ἀλλὰ καὶ τὰς μοναχὰς ἤθελον ἀπαγάγῃ πρὸς ἀνδραποδιστάς, ἔγνω φιλοτιμότατα ὁ μακάριος νέαν γυναικῶν μονὴν νὰ ἱδρύσῃ ἀπωτέρω τῆς θαλάσσης, ὥσπερ αὐτὸς λέγει ἐν τῷ ὑπομνήματι· «ἵνα μὴ τοιοῦτόν τι συμβῇ... καὶ τὸ δόξαν ἡμῖν εὐσεβὲς σπούδασμα εἰς τοὐναντίον ἀντιπεριστῇ, εἰς δευτέρους πόνους ἀπεδυσάμεθα καὶ σεμνεῖον ἕτερον ἐξ αὐτῶν κρηπίδων δομησάμενοι, πόρρω διακείμενον τῆς θαλάσσης *περὶ τὴν τοποθεσίαν τοῦ Βούζη*, ἐπ' ὀνόματι ἱδρυθὲν καὶ τοῦτο τῆς πανάγνου δεσποίνης ἡμῶν καὶ Θεομήτορος καὶ περὶ αὐτὸ κελλία . . . . ἐνταῦθα τὰς μοναζούσας συνετάξαμέν τε καὶ συνηγάγομεν καὶ καθηγουμένην αὐτῶν προεστησάμεθα. Τὴν δέ γε προτέραν τούτων μονὴν εἰς ἀνδρῴαν μετεσκευάσαμεν».

Ποῦ δὲ ἦτο ἡ θέσις Βούζη, ἐν ᾗ ἐδομήσατο τὴν νέαν μονὴν ὁ ἀρχιερεὺς Λέων; Ἰδοὺ ζήτημα εἰς πολλὰς ἐμβαλὸν ἡμᾶς ἐρεύνας ἀνὰ τὴν Ναυπλίαν. Οὐδεὶς πλέον γνωρίζει νῦν τὸ ὄνομα τοῦτο· λοιπὸν ζητητέος ναός τις, δι' ἐπιγραφῆς τινος μαρτυρῶν ὅτι ἀνηγέρθη περὶ τὸ 1144, δηλαδὴ ὅτε ἐξέδωκε τὸ περὶ τῆς νέας γυναικείας μονῆς τῆς τοῦ Βούζη ὑπόμνημα αὐτοῦ ὁ Λέων καὶ ἵδρυσε τὴν περὶ τὴν Ἄρειαν Νέαν Μονήν. Ὅτι δὲ περὶ τὰ μέσα τοῦ δωδεκάτου αἰῶνος ἀνήγειρε τὴν κατὰ τὴν Ἄρειαν Μονὴν ὁ Λέων, μαρτυροῦσι πλὴν τοῦ ὑπομνήματος ἥ τε ὑπὸ τοῦ ἀειμνήστου Ι. Σακελλίωνος δημοσιευθεῖσα ἀναγραφὴ τῶν Ἄργους καὶ Ναυπλίου παλαιῶν ἀρχιερέων(1) «ὁ Λέων ἔκτισε τὸ μοναστήριον τῆς Νέας Μονῆς, βασιλεύοντος κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ τῷ ,ςχνβ' ἔτει» (μ. Χ. 1144), καὶ ἐπιγραφή τις τῆς παρὰ τὴν Ἄρειαν Νέας Μονῆς, ἣν ἐδημοσιεύσαμεν μὲν ἄλλοτε(2),

(1) Δελτίον τῆς Ἱστορικῆς καὶ Ἐθνολογικῆς Ἑταιρίας τῆς Ἑλλάδος τόμ. 6' τεῦχ. ε' σελ. 37.

(2) Δελτίον τῆς Ἱστορ. κτλ. τόμ. α' τεῦχ. γ' σελ. 522.

καταχωρίζομεν δὲ πάλιν ὧδε, ἵνα πάσας τὰς ἐκ Ναυπλίας ἐπιγραφὰς ἔχῃ ὑπ' ὄψει ὁ ἀναγνώστης·

† Ἔπηξε βάθρα τῷ ναῷ σου, παρθένε,
Λέων Ἀργείων ἀλιτρὸς θυηπόλος,
ᾧπερ παράσχοις λύτρον ἀμπλακημάτων
εἰς ἀντάμειψιν, εὐλογημένη κόρη. †
Ἔτους ,ϚΧΝΖ΄ μηνὴ Ἀπριλίῳ ἰνδικτιῶνος ΙΒ΄ † (1).

Ἀλλ' ἐπιγραφήν τινα ἐκείνων τῶν χρόνων οὐδαμοῦ εὕρομεν. Μόνον λοιπὸν ὑπολειπόμενον μέσον πρὸς εὕρεσιν τοῦ ἐν τῇ τοποθεσίᾳ τοῦ Βούζη ἱδρυθέντος εἰς τιμὴν τῆς πανάγνου Θεοτόκου ναοῦ, εἶναι ὁ τρόπος τῆς οἰκοδομῆς τῶν κατὰ τὴν Ναυπλίαν χριστιανικῶν ναῶν. Ἐκ τῶν ἐνταῦθα ἱδρυμένων ἱερῶν κτισμάτων, τῶν ἀπὸ τῆς θαλάσσης κειμένων, οἱ ναοὶ τοῦ παρὰ τὸ Κατσίγκρι Ἁγίου Ἀδριανοῦ καὶ τῶν μονῶν τοῦ Ξεροκαστελίου καὶ τοῦ Ταλαντίου εἶναι αἰῶνας τινὰς μεταγενέστεροι τοῦ 1144. Τρεῖς δὲ ὑπολείπονται ἀναμφιβόλως τῷ δωδεκάτῳ αἰῶνι ἱδρυθέντες, οἱ ἐν τοῖς χωρίοις Μέρβακα, Πλατανίτη καὶ Χώνικα. Τούτων ὁ δεύτερος εἶναι καλός, ἐξ ὀρθογωνίων πώρων κατ' ἰσοδομίαν ἐκτισμένος, ἀλλ' ἡ σμικρότης αὐτοῦ μαρτυρεῖ ὅτι δὲν ἱδρύθη διὰ μονὴν μεγαλοπρεπῆ, ὁποία ἡ διὰ τὰς γυναῖκας ὑπὸ τοῦ Λέοντος κτισθεῖσα. Αἱ δὲ τοῦ Μέρβακα καὶ τοῦ Χώνικα ὁμοιάζουσι μὲν κατά τε πολλὰ ἄλλα καὶ κατὰ τὰ κοσμήματα τὰ διὰ κεραμεῶν πλίνθων

(1) Ἐν τῇ ἀναγραφῇ φέρεται ὅτι ὁ Λέων ἔκτισε τὴν Νέαν Μονὴν τῷ ,ϛχνϐ΄ (μ.Χ. 1144), τὸ δ' ὑπόμνημα τοῦ αὐτοῦ περὶ τῆς νέας κατὰ τὸ Βούζη μονῆς ἐξεδόθη μηνὶ Ὀκτωβρίῳ ἰνδικτιῶνος ζ΄ ἔτους ,ϛχνϐ΄. Ἐκ τούτων ἤθελέ τις εἰκάσῃ ὅτι ἡμεῖς κακῶς ἀνέγνωμεν τὸ σημεῖον Ξ ὡς γράμμα Ζ ἀντὶ Β, οὗτινος ἤθελεν ἐλλείπει ἡ κάθετος γραμμή. Ἀλλ' ὑπὲρ τῆς ἡμετέρας ἀναγνώσεως μαρτυρεῖ ἡ ἰνδικτιών· διότι τῷ 1144 ἦν ἑβδόμη, τῷ δὲ ,ϛχνζ΄ (μ Χ. 1149) ἦν ἰνδικτιὼν δωδεκάτη, ὡς μαρτυρεῖ ἡ ἐπιγραφή. Φαίνεται δὲ ὅτι ὁ Λέων ἔκτισε ἐν τῷ ναῷ τὴν ἐπιγραφὴν μετὰ τὴν ἀποπεράτωσιν τῆς ὅλης οἰκοδομῆς. Σημειούμεθα δ' ἐνταῦθα ὅτι κακῶς ἰσχυρίσθημεν ἄλλοτε (Δελτίον Ἱστορικῆς καὶ Ἐθνολ. ἑταιρ. τόμ. α΄ σελ. 523) ὅτι ὁ Λέων πρὸ τῆς ὑφ' ἡμῶν δημοσιεύσεως τῆς ἐπιγραφῆς ἦν ἄγνωστος· διότι οὐ μόνον εἶναι ὁ αὐτὸς τῷ ἐπισκόπῳ Ἄργους τῷ μετασχόντι τῆς ἐν ἔτει 1156 συνόδου, ἥτις καθεῖλε τὸν ὑποψήφιον πατριάρχην Ἀντιοχείας Σωτήριχον τὸν Παντεύγενον (*Allatii* Vindiciæ synodi Ephesiæ σελ. 585. —*Mai*· Spicilegium Roman. τόμ. Ι΄ σελ. 62), ἀλλὰ καὶ τὸ ὑπόμνημα αὐτοῦ εἶχεν ἤδη δημοσιευθῇ τῷ 1843 ἐν τῷ Ἑλληνομνήμονι.

τῶν ἁρμοζουσῶν τοὺς πώρους τοῦ οἰκοδομήματος, προσεγγίζουσι δὲ ἀλλήλοις καὶ κατὰ τὸ μέγεθος, τοῦ ἐν Μέρβακα μικρὸν ὄντος μακροτέρου, καὶ ἔχουσιν ἀμφότεροι ἐπὶ τῆς προσθίας καὶ ἑκατέρας τῶν μακρῶν πλευρῶν ἀνὰ δύο ὑψηλοὺς ἐκ λίθου σταυρούς, ὥσπερ καὶ ἡ παρὰ τὴν Ἄρειαν Ἁγία Μονή. Ἔχουσι λοιπὸν ἱδρυθῆ κατὰ τοὺς αὐτοὺς περίπου χρόνους καὶ ἴσως ὑπὸ τοῦ αὐτοῦ ἀρχιτέκτονος. Τοῦτο δὲ βεβαιοῦταί πως καὶ ὑπὸ τῆς παραδόσεως· διότι οἱ πρόσχωροι λέγουσιν ὅτι τὴν μὲν τοῦ Χώνικα ἔκτισεν ὁ *μάστορης* τὴν δὲ τοῦ Μέρβακα καὶ τὴν τῆς Ἁγίας Μονῆς ὁ μαθητής αὐτοῦ, ὅτι δὲ ἰδὼν ὁ μάστορης ὁπόσον προτερεῖ αὐτὸν ἐν τῇ τέχνῃ ὁ μαθητὴς ἀπέθανεν ἐκ θλίψεως. Καὶ ἀληθῶς, πλὴν κομψοτέρου τινὸς δι' ὀπτῶν πλίνθων κοσμήματος τοῦ ἐν Χώνικα ναοῦ, ὁ τοῦ Μέρβακα εἶναι ὅμοιος κατὰ τὸ κάλλος πρὸς τὸν τῆς Ἁγίας Μονῆς. Ἔχει δὲ καὶ τὴν αὐτὴν τῶν πλίνθων διάταξιν περὶ τὰς θυρίδας καὶ ὁ αὐτὸς πολυτελὴς μαίανδρος περιβάλλει αὐτόν. Ἔχει δὲ καὶ δύο θύρας κατὰ ταὐτὰ καὶ ἡ Ἁγία Μονή, πλὴν μόνον ὑποστέγου μετὰ κιόνων, στερεῖται δὲ καὶ προνάου, διῃρημένος μόνον ἐσωτερικῶς εἰς νάρθηκα καὶ κυρίως ναόν (ναῦν).

Κατὰ τὴν ἐμὴν λοιπὸν γνώμην ὁ ναὸς τῆς ἐν τῇ τοποθεσίᾳ τοῦ Βούζη ἱδρυθείσης ὑπὸ τοῦ Λέοντος νέας γυναικῶν μονῆς εἶναι ὁ τοῦ Μέρβακα, ὁ δὲ τοῦ Χώνικα εἶναι ἴσως ὁ ἱδρυθεὶς ὑπὸ τοῦ Ἰωάννου, τετάρτου πρὸ τοῦ Λέοντος ἐπισκόπου Ἄργους, ὡς μαρτυρεῖται ἐν τῇ ὑπὸ τοῦ Σακκελίωνος δημοσιευθείσῃ ἀναγραφῇ τῶν ἐπισκόπων Ἄργους καὶ Ναυπλίου «Ἰωάννης, ὁ καὶ *κτήτωρ τῆς νέας*» (1).

Πλὴν τῆς ἄνω δημοσιευθείσης ἐπιγραφῆς (10) ἐπὶ τῶν τοίχων καὶ τῶς στύλων τοῦ ναοῦ τῆς Ἁγίας Μονῆς ἀνέγνωμεν καὶ τὰ ἐπιγραφικὰ χαράγματα τάδε· Ἐπὶ τοῦ πρὸς βορρᾶν τοίχου

11) 1 6 9 1 Α π ρ λ ι
ȣ — 26 — η λ θ α
ε γ ο ΑΓΓΕΛΛΟΣ
Π Α Η Α Ρ Ε Τ Ο Σ

(1) Δελτίον Ἱστορ. καὶ Ἐθνολ. ἑταιρ. τόμ. Β' σελ. 37.

12) 1659 ΑΠΡΙΛ
ΛΙȢ

13) ΘΕΟΔΟ
ΣΙΟΣ Π̄ΑΔΟ† (Παπαδόπουλος)

Ἐπὶ τοῦ πρώτου δεξιὰ τῷ εἰσιόντι στύλου·

14) P P P

ἔνθα τὰ ἐν τῷ οἰκοσήμῳ τρία P δηλοῦσι βεβαίως ὄνομα καὶ ἐπίθετον ἀνδρός τινος τῶν κατεχόντων ἄλλοτε τὸ Ναύπλιον Φράγκων ἢ Βενετῶν.

Ἐπὶ τοῦ δευτέρου στύλου δεξιά·

15) +
16 σω|τ 41
ΝΙΚολαος ΜΝ Μ|ζ
φλεβαρίȣ Ι

Ἐπὶ τοῦ πρώτου στύλου ἀριστερά·

16) LAV-ENZIO
BELOCbIO


δηλαδὴ Laurenzio Belochio.

Ἐπὶ τοῦ δευτέρου στύλου ἀριστερά·

17) M + X
16 | 26
κ | ϐ

18) Ιω. μπονα^{χη}
. . . . . .
δρακος
(ἔτους) ͵αχμε´

19)




ἔνθα τὸ ἐν τῇ κατωτάτῃ ὁριζοντίᾳ γραμμῇ ζα δηλοῖ ἴσως τὸ ἔτος (μ. Χ. 1493).

20) LVCIO GOTI

21) ZORZI
SIGO

22) Τὸ συμπίλημα τῶν γραμμάτων τόδε·



δηλοῦν βεβαίως τὸ ὄνομα καὶ ἐπώνυμον ἀνδρός τινος, ὑφ' ὃ ὁ χρόνος ͵ΑΦΓ' αυγούστου Ζ'.

Μέρβακα.

Πρὸς κόσμον τοῦ ναοῦ τούτου ὁ φιλόκαλος Λέων προέτρεψε τὸν ἀρχιτέκτονα νὰ μεταχειρισθῇ, πλὴν τῶν ἀνεχόντων τὸν θόλον μονολίθων κιόνων καὶ τῶν καλῶν κορινθιακῶν κιονοκράνων, καὶ κάλλιστα ἐκ παρακειμένων ἀρχαίων ἱερῶν ἢ τάφων ἀνάγλυφα. Ὅπως δ' ὁ ναὸς τοῦ Χώνικα, οὕτως ἔχει καὶ ὁ τοῦ Μέρβακα ἡλιακὸν ὡρολόγιον, ἐν ᾧ αἱ δώδεκα ὧραι σημειοῦνται διὰ τῶν Ἑλληνικῶν σημείων Α, Β, Γ, Δ, Ε, Ϛ, Ζ, Η, Θ, Ι, ΑΙ, ΒΙ. Καὶ δὲν ἔχει μὲν ἐπίσημόν τινα ἐπιγραφήν, ἀλλ' ἐπὶ τῶν τοίχων καὶ τῶν στύλων τοῦ ναοῦ διασώζονται δι' ἀκίδος μαχαιριδίου γεγραμμένα χαράγματά τινα ἐπιγραφικά. Οὕτω δεξιὰ τῆς κυρίας εἰς τὸν ναὸν εἰσόδου ἐπὶ πλίνθου

23) ζητης μαθην της τωρα
δα διάχ . . .

ὅπερ ἴσως ἀναγνωστέον· «ζητεῖς μαθεῖν τίς τωραδὰ διδάσκει . . .»

Ἐπὶ τοῦ κεντρικοῦ μύακος ὄπισθεν·

24) † 1671 ΙȢΛΙȢ Ι ΓΕΡΑCΙΜΟC
ΙΕΡΟΜΟΝΑΧΟC

καὶ παρ' αὐτοῖς 1740.

Ἐπὶ δὲ τοῦ πρὸς νότον μικροτέρου·


25) † 1693 εν μηνη φερουαρηου — 2
εγραψα εγὸ . . . (αθη)νηός
. . . . ρηός
. . . . λονδα

ἔγραψε δὲ πιθανῶς ταῦτα Ἀθηναῖός τις τῶν ἐγκαταλιπόντων τὴν πόλιν αὐτῶν τῷ 1688 καὶ μετοικισάντων εἰς τὰ Ἴρια τῆς Ναυπλίας(1).

(1) Ὅρα ἡμετέραν διατριβὴν «Ἡ ἐρήμωσις τῶν Ἀθηνῶν» σελ. 16 καὶ 23 σημ. 78. — Fanelli Atene, Attica σελ. 311, 680.

Ἔσω δὲ τοῦ ναοῦ ἐπὶ τοῦ β΄ στύλου δεξιὰ τοιόνδε·


26)



πιθανῶς (μηνὸς) Μαΐου (16)93.

Ἐπὶ τοῦ πρώτου στύλου ἀριστερά·

27)




Δηλοῖ δ' ἴσως «Θεὸς κύριος», πιθανῶς δὲ εἶναι καὶ ἀρκτικὰ κυρίου ὀνόματος καὶ ἐπιθέτου, ὥσπερ καὶ πολλὰ τῶν κατωτέρω δημοσιευομένων.

Ἐπὶ δὲ τοῦ δευτέρου στύλου ἀριστερά·

28)



29)



ὧν τὸ τρίτον δηλοῖ πιθανῶς ἔτος ἀπὸ κτίσεως κόσμου 7000 (μ. Χ.

1492) Φαίνεται δὲ ὅτι Ἰωάννης τις Μ. . . ἔγραψε τρία τῶν χαραγμάτων τοῦ Μέρβακα καὶ ἓν τῆς Ἁγίας Μονῆς περὶ τὸ 1500.


30) +
σω | χ
φ

1542 ΟΚΤΟ
ΒΡΙȣ 2

Χώνικα.

Ἐπὶ τοῦ πρὸς νότον τοίχου τοῦ ἐν Χώνικα ναοῦ εἶναι κεχαραγμέναι ἐπιγραφαὶ δηλοῦσαι δύο τοῦ ἡλίου ἐκλείψεις κατὰ τὸν δέκατον ἕβδομον καὶ δέκατον ὄγδοον αἰῶνα γενομένας. Ἡ πρώτη ἔχει οὕτω·

31)



δηλαδὴ

« 1661 μαρτίου κ' ἐχάθη ὁ ἥλιος »

ἀριστερὰ δὲ καὶ κατωτέρω ταύτης καὶ διὰ τοῦ αὐτοῦ χαρακτῆρος γραμμάτων πάλιν ἐχαθη ὁ ἥλιος

32) Ἡ δὲ δευτέρα ἔχει οὕτω·

1760 γουνιου 2
εματαεχα
ΘΙ ο ηλιος

ἀριστερὰ δὲ καὶ κατωτέρω ταύτης τὸ χάραγμα

1 7 8 8 μαι 7

Τῶν ὑπὸ τῶν ἐπιγραφῶν τούτων μαρτυρουμένων ἐκλείψεων ἡ πρώτη βεβαιοῦται ὑπό τινος χαράγματος, ὅπερ ἀνέγνωμεν ἐπὶ τοῦ κονιάματος τοῦ πλησίον τῆς ἐν τῇ Ἀττικῇ Κορωπῆς ναοῦ τῆς Παναγίας, τοῦδε·

« 1661 μαρτιου — 20 ἡμερα Τετράδη
εχαθηκεν οἵληος τη αγία καὶ μεγάλη — δ »

Κατσίγκρι.

Τέταρτον ὥρας μακρὰν τοῦ χωρίου τούτου ἵδρυται ὁ ἄκομψος ναὸς τῶν ἁγίων Ἀδριανοῦ καὶ Ναταλίας οἰκοδομηθεὶς πρὸ δύο ἴσως αἰώνων, οὗ ἐπὶ τῶν τοίχων ἔσωθεν ἔχουσι γραφῇ τάδε δηλοῦντα τὸν χρόνον τῆς δι' εἰκόνων κοσμήσεως τοῦ ναοῦ (1).

33) † Οὗτος ὁ θεῖος καὶ πάνσεπτος ναὸς τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος καὶ θαυματουργοῦ Ἀδριανοῦ καὶ Ναταλίας ἡστορίθη δι' ἐξόδου τοῦ ἐνδοξοτάτου ἄρχοντος καὶ δραγουμάνου τοῦ Μορέος Κυρίου Κυρ Θεοδώρου Καπελέτη ἐκ πόλεως Ἄργους υἱοῦ τοῦ ποτὲ Παπαα δριανοῦ τοῦ καὶ οἰκονόμου τῆς αὐτῆς χώρας, ἀρχηερατεύοντος τοῦ πανιεροτάτου καὶ λογιοτάτου μ(ητ)ροπολίτου τῆς ἁγιωτάτης μ(ητ)ροπόλεως Ναυπλίου καὶ Ἄργους Κυρ(ίου) Κυρ Νεοφύτου τοὐπίκλην Γιανούσι ἐκ πόλεως Πραστοῦ. Διὰ χειρὸς κἀμοῦ τοῦ ταπεινοῦ Ἱερεμίου ἱερομονάχου τοῦ ἐξ Ἀδαμίου αψμγ Ἰουνίῳ.

Ἐκ τῆς ἐπιγραφῆς ταύτης μανθάνομεν τὸ ὄνομα τῶν Ἑλλήνων τινὸς τῶν ἐχόντων τὸ ἀξίωμα δραγουμάνου τοῦ Μωρέως καὶ τὸ τοῦ ζωγράφου Ἱερεμίου τοῦ ἐξ Ἀδαμίου, χωρίου νῦν τοῦ δήμου Λήσσης.

(3) Ἐδημοσιεύθη τὸ πρῶτον ὑπὸ τοῦ κ. Ι. Κοφινιώτου ἐν *Ἀθηνᾶς* τόμ. Β' σελ. 696.

Ληγουριό.

Πρὸς δυσμὰς τοῦ Ληγουριοῦ ἐγγύτατα ἐρηριμμένης τινὸς πυραμίδος ὑψοῦται ὁ ναὸς τῆς Ἁγίας Μαρίνης, ἧς ἄξιοι θέας μάλιστα εἶναι δύο στύλοι ἰωνικοὶ καὶ τρία ἰωνικὰ κιονόκρανα τῶν ἀνεχόντων τὸν θόλον τεσσάρων κιόνων μετενηνεγμένα βεβαίως ἀπὸ τοῦ οὐ μακρὰν κειμένου Ἱεροῦ τοῦ Ἀσκληπιοῦ. Ἐπὶ τῶν τοίχων δὲ αὐτοῦ ἔχουσι γραφῇ αἱ ἐπιγραφαὶ ὑπὲρ τὴν εἴσοδον μὲν τοῦ ἱεροῦ·

35) ✝ Οὐρανὸς πολύφωτος ἡ ἐκκλησία ἐνεδείχθη ἅπαντας φωταγωγοῦσα τοὺς πιστοὺς ἐν ᾧ ἑστῶτες κραυγάζομεν τοῦτον τὸν οἶκον στερέωσον Κ(ύρι)ε.

Ἐν ἔτει ΑΨΙΓ : ◇ · · · Ἀρχιερατεύοντος τοῦ θεοφιλεστάτου ἐπισκόπου Κυ(ρίου) Κυ(ρίου) Ἰακόβου Δαμαλῶν καὶ Παιδι ἄδος.

Ἀλλαχοῦ δὲ τοῦ ναοῦ

36) Ανιστοριθη ὁ κὲ πασεμπτος ναος της αγιας ενδοῦξου μεγαλομαρτυρος τοῦ Χ(ριστο)ῦ Μαρήν(ης)

1713 Δεκεμ(βρίου) 6.

καὶ δι' ἀκίδος μαχαιριδίου ἐπὶ τοῦ κονιάματος·

1761 μαίου 8
1718 — 1714.

Τῆς δὲ ἐντὸς τοῦ χωρίου Ληγουριοῦ ἐκκλησίας ὁ χρόνος τῆς ἱδρύσεως φέρεται γεγραμμένος ἐπὶ τῶν καταγράφων ἐξ εἰκόνων τοίχων ἔσωθεν·

37) ✝ Ἀνηγερθη εκ βαθρον γης καὶ ἀνιστορηθη ὁ θυος καὶ πάνσεπτος ναος της υπεραγίας δεσποινης ημων $\overline{\text{ΘΚ}}$ (θεοτόκου) δηα συνδρομῆς καὶ ἐξοδου ταυτης χωρας και πασης κινοτητος αρχιερατευον-

τος του θεοφιλεστάτου ἐπισκοπου ημων κυριου Ιακώβου Δαμαλῶν καὶ Πεδιαδος εφημερέβοντος Δημητριου ἱερεως Ιω. ἱερέως.

Ἐν ετη ΑΨΑ μηνι φεβρουαρίου κζ.

Ἐπὶ τῆς προσθίας πλευρᾶς καλοῦ ναΐσκου δεξιὰ τῆς ἀπὸ Ληγουριοῦ εἰς Ἱερὸν ὁδοῦ ἐπὶ μικρᾶς πλακὸς εἶναι κεχαραγμένη, ἱκανῶς παλαιῶν χρόνων, ἡ ἐπιγραφὴ

38) † ΜΗ
ΤΗΚΕ
ϚΕΦΑ
ΝΟV

δηλονότι « † Μνήσθητι, Κύριε, Στεφάνου » (1).

ΕΛΕΓΧΟΣ

ΤΩΝ ΣΗΜΕΙΩΜΑΤΩΝ ΤΟΥ ΜΗΝΑΙΟΥ ΤΗΣ ΜΟΝΗΣ ΑΣΤΕΡΙΟΥ

Ἐν σελ. 182 τοῦ Β' τόμου τῶν ὑπὸ τοῦ Δ. Γρ. Καμπούρογλου ἐκδιδομένων Μνημείων τῆς Ἱστορίας τῶν Ἀθηναίων ἐδημοσιεύθησαν, ἐξηγμένα ἔκ τινος μηναίου ἀνήκοντος ἄλλοτε τῇ κατὰ τὸν Ὑμηττὸν Μονῇ τοῦ Ἀστερίου, τάδε·

« † Εἰς τοὺς Α687 Σεπτεμβρίου 9 ἐφάνη ἡ ἀρμάδα τοῦ Βενετσάνου ἡμέρα σάβατο καὶ τὴν κυριακὴ ἀνέβη τὸ ἀσχέρη ἀπάνο καὶ τὴν πέμπτην ἄρχησε ὁ πόλεμος καὶ τὴν κυριακὴν ὥρα ἐνάτη ἐπαραδόθη τὸ κάστρο τῆς Ἀθήνας καὶ ἔστω εἰς ἐνθύμησιν τῶν μεταγενεστέρων.

Καὶ εἰς τοὺς ΑϚΗΗ μαρτιου 14 ἐμετηκήσαμεν εἰς Περέαν καὶ εἰς Σαλαμήναν καὶ Πελοπόννησον » (2).

(1) Περὶ ἐπιγραφῶν τινων ἐπὶ τηλεβόλων ἐν Ναυπλίῳ ὅρα ἡμετέραν σημείωσιν ἐν *Ἑβδομάδος* τόμου Ε' ἀριθμῷ 5

(2) Ἡ ἐν τῷ Μηναίῳ πρωτότυπος σημείωσις μαρτυρεῖ μείζονα ἀμαθίαν καὶ σκαιό-

Κατάπληξιν δὲ προξενοῦντα, προτάσσονται ὑπὸ τοῦ δημοσιεύσαντος τὴν σημείωσιν, ὡς εἰσαγωγὴ εἰς τὰ σημειώματα, τάδε· « *Ἀκριβεῖς χρονολογίαι καὶ ἄγνωστοι μέχρι τοῦδε λεπτομέρειαι* περὶ τῆς κατοχῆς τῶν Ἀθηνῶν ὑπὸ τῶν Βενετῶν καὶ τοῦ κατόπιν ἐκπατρισμοῦ τῶν Ἀθηναίων ».

Ἡ ἐπὶ μηναίου σημείωσις ἀμαθεστάτου καλογήρου ἐκ τῆς Μονῆς αὐτοῦ, ἐπὶ τῆς κορυφῆς σχεδὸν τοῦ Ὑμηττοῦ κειμένης, θεωμένου τὰ ἐν Πειραιεῖ καὶ Ἀθήναις γιγνόμενα, ἤθελον εἶναι ἀνάξια καὶ τῆς ἐλαχίστης προσοχῆς, ἂν μὴ ἐν τῇ πολυτίμῳ συλλογῇ τῶν Μνημείων ἐδημοσιεύοντο.

Ὁ γράψας τὴν σημείωσιν ταύτην βεβαιότατα δὲν ἀντελήφθη αὐτοῖς ὄμμασι τὰ κατὰ τὴν πολιορκίαν τῆς Ἀκροπόλεως ὑπὸ τῶν Βενετῶν, ἀλλ' ἐπτοημένος καὶ περιδεὴς ἀνέμενεν ἐν τῇ μονῇ αὐτοῦ νὰ μάθῃ πρὸς ὁπότερον τῶν ἀντιμαχομένων ἤθελε κλίνῃ ἡ νίκη. Βεβαιότατον δ' ὡσαύτως ὅτι τὰς σημειώσεις αὐτοῦ ἔγραψεν οὐχὶ εὐθὺς μετὰ τὴν ἅλωσιν τῆς Ἀκροπόλεως, ἀλλὰ μετὰ ἔκμηνον ὅλον, ὅτε ἀπελθὼν τῶν Ἀθηνῶν μετὰ τῶν λοιπῶν Ἀθηναίων καὶ ἐν Σαλαμῖνι (1) πιθανώτατα διατρίβων ἔκρινε καλὸν νὰ σημειώσῃ τὰ κατὰ τὴν πολιορκίαν « εἰς ἐνθύμησιν τῶν μεταγενεστέρων ». Ὅτι δὲ κατὰ τὴν μακρὰν τῶν Ἀθηνῶν διατριβὴν αὐτοῦ ἔγραψεν ἅπασαν τὴν σημείωσιν, ἐξάγεται ἐκ τοῦ β' μέρους αὐτῆς ἀρχομένου οὕτω· « *καὶ* εἰς τοὺς ΑϚΗΗ μαρτύου 14 ἐμετήκησαμεν εἰς Περέαν κλπ. ».

Ὑπὸ τοῦ δημοσιεύσαντος τὴν σημείωσιν ὠνομάσθησαν αἱ μὲν χρονολογίαι *ἀκριβεῖς*, *ἄγνωστοι* δὲ αἱ λεπτομέρειαι. Καὶ περὶ μὲν τῶν λεπτομερειῶν ματαιοσχόλου ἔργον ἤθελεν εἶναι μακρὸς λόγος, ἄντικρυς σκιαμαχία. Διότι ἀπὸ τοῦ δεκάτου ἑβδόμου αἰῶνος τελευτῶντος μέχρι σήμερον τοσαῦτα ἔχουσι γραφῇ περὶ τῆς ἁλώσεως τῆς Ἀκροπόλεως ὑπὸ τῶν Βενετῶν, ὥστε τὸ λέγειν τὰ αὐχμηρὰ ῥηματίδια τῆς σημειώσεως λεπτομερείας καὶ δὴ ἀγνώστους εἶναι καθ' ἡμᾶς μεγαλοπρεπεστάτη κενολογία. Μήτοι δὲ αἱ χρονολογίαι εἶναι κατὰ πάντα

τητα τοῦ γράψαντος αὐτήν· διότι ἔχει τοῦς, *ἐφάνι*, *ἡ*, *Βενεκυάνου*, *κηριακή*, *πέμτη*, *ὥρα ἐνάτη*, *ἀθήνας*, *ἐνθήμησιν*, *μαρτύου*, *ἐμετήκησαμεν* κλπ.

(1) Τὸ μηναῖον ἦτο τελευταῖον εἰς τὴν κυριότητα τῆς ἐν Σαλαμῖνι Μονῆς τῆς Φανερωμένης, δωρηθὲν αὐτῇ βεβαίως ὑπὸ τοῦ ἐξ Ἀστερίου Μοναχοῦ.

ἀκριβεῖς; Θ' ἀποδείξωμεν ὅτι αἱ μὲν ἀκριβεῖς ἐξ αὐτῶν δὲν εἶναι ἄγνωστοι, αἱ δὲ ἄγνωστοι εἶναι παντάπασιν ἀνακριβεῖς.

Α'

Ἡμέρα τοῦ κατάπλου τῶν Βενετῶν εἰς Πειραιᾶ.

Ἡ σημείωσις λέγει «*Εἰς τοῦς Α687 Σεπτεμβρίου 9 ἐφάνι ἡ ἀρμάδα τοῦ Βενεκυάρου ἡμέρα σαβάτο*».

Περὶ τῆς ἡμέρας τοῦ κατάπλου τῶν Βενετῶν εἰς τὸν Πειραιᾶ ὑπῆρξαν διαφωνίαι τινές. Οὕτως ὁ Hombergk, γερμανὸς ἀξιωματικὸς ἐν τῇ Βενετικῇ ὑπηρεσίᾳ, μαρτυρεῖ ὅτι πρὸ τῆς 8/28 Σεπτεμβρίου κατέπλευσαν εἰς τὸν λιμένα· γράφων δηλ. τῇ 2 Ὀκτωβρίου (ν. ε.) ἐξ Ἀθηνῶν λέγει· «εἴμεθα πρὸ τῶν Ἀθηνῶν μετὰ τῆς στρατιᾶς ἀπὸ δεκαπέντε ἡμερῶν» (1). Ὁ δὲ Locatelli δέχεται (2), ἄγνωστον πόθεν λαβών, τὴν 9/19 Σεπτεμβρίου ὡς ἡμέραν τοῦ εἰς Πειραιᾶ κατάπλου τοῦ Βενετικοῦ στόλου, καὶ εἶναι μονώτατος, καθ' ὅσον ἡμεῖς γιγνώσκομεν, συνήγορος τῆς ἐν τῷ Μηναίῳ χρονολογίας. Ἀλλὰ πάντες οἱ λοιποὶ οἵ τε μετασχόντες τότε τῶν ἔργων καὶ ἡ σύγχρονος ἱστορία, ἡ ἐπὶ ἐπισήμων καὶ ἀναμφηρίστων μαρτυριῶν ἐρειδομένη, ἡμέραν τοῦ εἰς Πειραιᾶ κατάπλου ὁρίζουσι τὴν 11/21 Σεπτεμβρίου 1687 (3).

Τῇ 10/20 Σεπτεμβρίου, δηλαδὴ μίαν ἡμέραν μετὰ τὸν ὑπὸ τῆς σημειώσεως δηλούμενον κατάπλουν, ὁ στόλος τῶν Βενετῶν ἐναυλόχει ἐν Κορίνθῳ εἰσέτι, ὡς μαρτυρεῖται ὑπὸ τῆς ἐπισήμου ἐκθέσεως τοῦ Μοροζίνη πρὸς τὸν Δόγην· «Dalla Galera. Golfo d'Egina, Stretto di

(1) *Hombergk*· Correspondance παρὰ Laborde Athènes à XV, XVI et XVII siecles II σελ. 357.

(2) *Locatelli*· Raconto historico etc. Colonia 1705, II σελ. 3.

(3) Ἡμεῖς ἐν τῇ ἡμετέρᾳ διατριβῇ «Ἡ καταστροφὴ τοῦ Παρθενῶνος ὑπὸ τῶν Βενετῶν» ἐγράψαμεν ὅτι ὁ στόλος κατέπλευσεν εἰς Πειραιᾶ τῇ 9/21 Σεπτεμβρίου· ἐσφάλημεν δὲ διότι ἐνομίζομεν ὅτι τὸ Ἰουλιανὸν ἡμερολόγιον ὑστέρει καὶ κατ' ἐκεῖνο τοῦ χρόνου 12 ἡμέρας τοῦ Γρηγοριανοῦ. Ἀλλ' ὅτε μέρος τῆς διατριβῆς ἡμῶν ἐδημοσιεύθη ἐν τῇ *Νέᾳ Ἐφημερίδι* τῆς 16 Σεπτεμβρίου 1887 ἀποκατέστη τὸ ἀληθὲς (11/21 Σεπτεμβρίου) διὰ τῆς ἀφαιρέσεως δέκα μόνον ἡμερῶν.

Corinto, *20 Sett.* 1687» (1). Ἐπίσημος ὡσαύτως ἔκθεσις τοῦ στρατηγοῦ πρὸς τὸν Δόγην ὑπὲρ τῆς 11/21 τοῦ Σεπτεμβρίου ὡς ἡμέρας τοῦ κατάπλου, ἄρχεται ὧδε· «Serenissimo Principe, *La mattina del 21 caduto*, si presento quest'armata alle rive d'Athene *in Porto Lion*» (1). Ὑπὲρ αὐτοῦ δὲ μαρτυροῦσι καὶ αἱ ἐν τοῖς ἀρχείοις τῆς Βενετίας χειρόγραφοι ἐφημερίδες τῆς 8 Νοεμβρίου 1867 ἀναφέρουσαι· «Mercordi poi arrivo una tartana spedita del S. Cap. Generale con lettere delli II passato con la quale sha che *la mattina del. 21 Septembre arrivo l'armata in porto Leone* d'Athena e nel tempo stesso il capitano straordinario delle navi, Vernier, passo con le navi nel canal di Negroponte per far diversione» (1). Ὑπὲρ τῆς αὐτῆς δὲ ἡμέρας συνηγοροῦσι καὶ αἱ ἐπιστολαί, ἃς ἡ κυρία τῆς τιμῆς τῆς γυναικὸς τοῦ Κοίνιξμαρχ, ἡ παραστᾶσα κατὰ τὴν πολιορκίαν Anna Mänsdotter Agrigonia Akerhjelm ἔγραψε πρὸς τὸν ἀδελφὸν αὐτῆς· «1687. Τῇ 21 (Σεπτεμβρίου. π. ε. 11) ἀφικόμεθα εἰς Ἀθήνας. Εἰσήλθομεν εἰς τὸν λιμένα τοῦ Porto Lione» (2).

Τὴν ἡμέραν δὲ ταύτην παραδέχονται καὶ οἱ ἄριστοι τῶν κατὰ τὸν αἰῶνα τοῦτον περὶ τῆς πολιορκίας τῆς Ἀκροπόλεως γραψάντων. Ἐν τῇ Jurnal Militaire de Vienne (3) ἐγράφη «in der nacht von (11) 21, ging die Uberfahrt nach dem Piræus». Πρὸς ταῦτα δὲ συμφωνοῦσι τέλεον ὁ Pfister (4) καὶ ὁ Schwenke (5) στηριζόμενοι εἰς ἐγγράφους μαρτυρίας τῶν μετασχόντων τῆς στρατείας Γερμανῶν. Τὴν αὐτὴν δὲ ἡμέραν ὁρίζουσιν, ἐκ πάντων τῶν εἰρημένων καὶ ἐκ τῶν ἀρχείων τῆς Βενετίας ἐξάγοντες τοῦτο, ὅ τε Hopf (6) καὶ ὁ Laborde (7).

Ἐσφαλμένον λοιπὸν εἶναι τὸ τῆς σημειώσεως, ὅτι τῇ 9 Σεπτεμβρίου κατέπλευσαν οἱ Βενετοὶ εἰς Πειραιᾶ.

(1) Ἀρχεῖα τῆς Βενετίας ὑπὸ Rawdon Brown.
(2) Παρὰ Laborde· Athènes etc II σελ. 85.
(3) Tom. III ἔτος 1829 σελ. 310.
(4) Der Krieg von Morea etc σελ. 317.
(5) Geschichte der Hannoverschen Truppen in Griechenland etc σελ. 147
(6) Geschichte Griechenlands von Begin des Mittelalters σελ. 178.
(7) Athènes etc II σελ. 133.

Β'

Ἄνοδος τῆς Βενετικῆς στρατιᾶς εἰς Ἀθήνας.

Ἡ σημείωσις λέγει· «τὴν κυριακὴ ἀνέβη τὸ ἀσχέρη ἀπάνω». Τοῦτο ἀκριβὲς μὲν ἤδη ἀλλὰ γνωστότατον.

Τῇ 11/21 Σεπτεμβρίου οἱ Βενετοὶ διέτριψαν ἐν Πειραιεῖ ἀσχολούμενοι καθ' ὅλην τὴν ἡμέραν καὶ τὴν νύκτα εἰς ἀπόβασιν τῶν στρατιωτῶν (9880 πεζῶν καὶ 861 ἱππέων) (1), τοῦ πυροβολικοῦ καὶ τῶν ἵππων· τῇ δ' ὑστεραίᾳ, 12/22 Σεπτεμβρίου, ἡμέρᾳ Κυριακῇ, προσῆλθον πρὸς τὸν στρατηγὸν τῶν Βενετῶν πρέσβεις ἀπὸ τῶν Ἀθηναίων πεμφθέντες οἱ ἀδελφοὶ Πέτρος καὶ Δημήτριος Γάσπαρης, ὁ Σπυρίδων Περούλης καὶ ὁ Ἀργυρὸς Βεναλδῆς (2) ὑπισχνούμενοι ἐξ ὀνόματος τῶν συμπολιτῶν αὐτῶν χρηματικὰς εἰσφορὰς καὶ πᾶσαν ἄλλην ἐπικουρίαν καὶ ἀγγέλλοντες ὅτι οἱ Τοῦρκοι ἅμα μαθόντες τὸν κατάπλουν τοῦ Βενετικοῦ στόλου συναγαγόντες πάντα τὰ ἐπιτήδεια εἰς τὴν πολιορκίαν ἐκλείσθησαν ἐν τῇ Ἀκροπόλει. Μετά τινα δὲ σύσκεψιν ὁ χριστιανικὸς στρατὸς ἀνέζευξε καὶ ἐτράπη τὴν πρὸς τὰς Ἀθήνας.

Περὶ τούτων ἔχομεν τὰς ἑξῆς δύο ἐπισήμους μαρτυρίας. Πρῶτον τὴν ἔκθεσιν τοῦ Μοροζίνη πρὸς τὸν Δόγην· «Serenissimo Principe, La mattina del 21 caduto, si presento quest'armata alle rive d'Athene in Porto Lion, dove in ordine fu posta come era stato deliberato nell'ultima consulta, ed eseguito losbarco delle milizie e de'cavalli che cole galeazze e galere nel breve giro d'una sola notte etc»· δεύτερον δὲ τὰς ἐφημερίδας «Venezia 22 Nov. 1687 . . . Fatto lo sbarco in detto porto, comparsero *il giorno delli 22* all'obedienza del signor capitano generale i principali Greci dimonstrando giubilo di potere sottraersi dal giogo de Barbari etc» (3).

(1) Locatelli II, 3.
(2) *Fanelli*· Atene, Attica, 308, 655.—Locatelli II, 3.
(3) *Rawdon Brown* Ἀρχεῖα τῆς Βενετίας.

Γ'

Ἀρχὴ τῆς πολιορκίας.

Ἡ σημείωσις λέγει· «τὴν πέμτη ἄρχησε ὁ πόλεμος».

Ἡ ἄνεμος πνέων σφοδρὸς ἀπηλιώτης παρέσυρε τὸν κρότον τῶν τηλεβόλων ἢ οἱ καλόγηροι τοῦ Ἀστερίου ἔπασχον δεινὴν δυσηκοΐαν, οὐδαμῶς ἀντιλαμβανόμενοι τῆς ἀπὸ δύο ἡμερῶν βροντῆς τῶν τηλεβόλων. Καὶ ἀληθῶς· ἑσπέρας τῆς 12/22 Σεπτεμβρίου οἱ Βενετοὶ ἀνελθόντες εἰς Ἀθήνας παρεσκευάσθησαν εἰς τὴν προσβολήν. Τῇ 13/23, ἡμέρᾳ Δευτέρᾳ, ἀπὸ πρωίας ἔστησαν ἓξ τηλεβόλα ἐπὶ τῆς Πυκνὸς καταντικρὺ τῶν Προπυλαίων καὶ τέσσαρα ὁλμοβόλα, δύο μὲν ΒΑ τῆς Ἀκροπόλεως, ἴσως πρὸς τὸν Ἅγιον Ἰωάννην τὸν Θεολόγον, πλησίον τοῦ Ἁγίου Νικολάου τοῦ Ῥαγκαβᾶ, καὶ δύο ΒΔ τοῦ Ἀρείου Πάγου παρὰ τὸν οἶκον τοῦ ἀρχιεπισκόπου καὶ τὸν ναΐσκον τοῦ Ἁγίου Διονυσίου (1). Τῇ δ' ὑστεραίᾳ 14/24, ἔστησαν καὶ ἄλλα τηλεβόλα μεταξὺ Πυκνὸς καὶ Μουσείου. Τῇ δὲ 15/25, ἡμέρᾳ Τετράδι, ἅμα ἕῳ, ἀντικατασταθέντος τοῦ ἀνικάνου ἀρχηγοῦ τοῦ πυροβολικοῦ Muttoni di San Felice διὰ τοῦ Λεάνδρου (2), ἡ προσβολὴ ἐγένετο μετὰ μείζονος ἢ τὴν προτεραίαν ὁρμῆς καὶ ἐπιτυχίας (3). Καὶ τῇ ἑσπέρᾳ μὲν ταύτης δὴ τῆς 15/25 Σεπτεμβρίου ἀνεφλέχθη πυριτιδαποθήκη τις παρὰ τὰ Προπύλαια (4), ἅμα δὲ τῇ νυκτὶ τῆς 16/29 ἐξερράγη διὰ

(1) Ὅρα εἰκόνας Berneda παρὰ Fanelli σελ. 1,113 καὶ 317 καὶ παρὰ Laborde II σελ. 172, 180 καὶ 182.

(2) Muazzo (παρὰ Laborde II σελ. 143) «necessitandolo corregger publicamente in Moltoni direttor delle Batterie, in quale per allora deposta la presunzione, lascio la cura al governator Leandro, assai provetto, benche suppeditato dal fasto ambizioso del altro».

(3) Raporti di Venezia 22 Nov. 1687 «... *Alli 23* si condussero cannoni e mortari, e *la sera delli 24* si fisse la batteria; *alli 25* nello spundar del giorno si comincio a batter il castello con cosi buon effeto». καὶ ἡ ἐπίσημος ἔκθεσις τοῦ Μοροζίνη· «... Si principio la mattina *dei 23* con due batterie, l'une di sei pezzi di cannone, l'altra di quatro mortari da bombe tormentar li assediati» (Rawdon Brown Ἀρχ. Βεν. N° 125).

(4) Laborde II, 147, — Hopf σελ. 178 στήλα α'.

τῶν ἀπ' ἀνατολῶν ὅλμων ἡ ἐν τῷ Παρθενῶνι, ἡ καταστρέψασα αὐτόν (1).

Δ'

Παράδοσις τῆς Ἀκροπόλεως.

Ἐν τῇ σημειώσει ἀναγράφεται· «τὴν κυριακὴ ὥρα ἐνάτη ἐπαραδόθη τὸ κάστρο τῆς Ἀθήνας». Καὶ τοῦτο ἔχει ὀρθῶς, ἀλλ' οὐδαμῶς εἶναι ἄγνωστον, ἀλλὰ γνωστότατον ὅτι τῇ Κυριακῇ 19/29 Σεπτεμβρίου παρέδοσαν οἱ πολιορκούμενοι τὴν Ἀκρόπολιν. Διαφωνοῦσι μόνον δύο· ὁ Zehn Ἀνοβερανὸς ἀξιωματικὸς γράφων ἐν τῷ ἡμερολογίῳ αὐτοῦ· «ὁ βομβαρδισμὸς διήρκεσεν *ἐπὶ δώδεκα ἡμέρας*, ὅτε ἡ φρουρὰ παρέδωκε τὴν θέσιν ἐπὶ τῷ ὅρῳ νὰ τύχῃ τῆς ἀδείας νὰ ἀπέλθῃ εἰς Σμύρνην» (2) καὶ δεύτερον ἐπιστολή τις παρὰ Bulifone (3)· «fra le spazio di *18 giorni* cade in mano de'nostri». Ἀλλ' ἴσως τούτου αἱ 18 ἡμέραι πρέπει νὰ διορθωθῶσιν εἰς 13, εἰκάζομεν δὲ τότε ὅτι καὶ ὁ ἐκ Πόρου γράφων καὶ ὁ Zehn λογίζονται τὴν πολιορκίαν ἀπὸ τοῦ εἰς Πειραιᾶ κατάπλου — 11/21 Σεπτεμβρίου — μέχρι τῆς ἐγκαταλείψεως τῆς Ἀκροπόλεως ὑπὸ τῶν Τούρκων — 23 Σεπτ./3 Ὀκτωβρίου.

Μετὰ τὴν ἔκρηξιν τῆς ἐν τῷ Παρθενῶνι πυριτιδαποθήκης (16/26) οἱ πολιορκηταὶ προσέβαλον ἰσχυρότερον τὴν Ἀκρόπολιν (17/27) ἐλπίζοντες νὰ διαρρήξωσι τὰ τείχη καὶ εἰσπηδήσωσι διὰ τῶν ῥηγμάτων. Τῇ 18/28 ἅμα τῇ ἡμέρᾳ ἠγγέλθη ὅτι ἤρχετο ἐπίκουρος τῶν πολιορκουμένων ὁ σερασκέρης τῶν Θηβῶν ἄγων δισχιλίους ἱππεῖς καί τινα στίφη πεζῶν. Ἀλλὰ μετὰ μάχην κατὰ τὸν ἐλαιῶνα τῶν Ἀθηνῶν γενομένην ὁ σερασκιέρης κατετροπώθη ὑπὸ τοῦ Κοίνιξμαρκ, οἱ δ' ἐν τῇ Ἀκροπόλει Τοῦρκοι θεώμενοι τὴν ἐπαίσχυντον τῶν ἐπικούρων φυγήν, ἀπελπίσαντες δὲ καὶ περὶ ἄλλης βοηθείας, ἔχοντες δὲ καὶ περὶ τὰ τριακόσια πτώματα ἄταφα, ὧν τὰ διακόσια ἐκ τῆς ἐκρήξεως

(1) Πρβ. διατριβὴν ἡμῶν «ἡ καταστροφὴ τοῦ Παρθενῶνος ὑπὸ τῶν Βενετῶν» σε. 20 σημ. 30.

(2) Παρὰ Laborde II, 363.

(3) Lettere memorabiii σελ. 83. «Dal'oampo di Porto Porto, li 8 di Giugnio 1688».

τῆς ἐν τῷ Παρθενῶνι πυρίτιδος, ὕψωσαν τὰ προσέσπερα τῆς αὐτῆς 18/28 Σεπτεμβρίου σημαίαν λευκήν, τὴν δὲ πρωίαν τῆς 19/29 Σεπτεμβρίου ἔπεμψαν πρεσβείαν εὐμενῶς γενομένην δεκτὴν παρὰ τῷ Μοροζίνῃ, πρὸς ὃν συνέθεντο νὰ ἐγκαταλίπωσι τὴν ἄκραν ἐν πέντε ἡμέραις ἄοπλοι, παραδιδόντες αὐτὴν τοῖς Βενετοῖς, ἀπολύοντες τοὺς χριστιανοὺς αἰχμαλώτους καὶ τοὺς μαύρους δούλους, λαμβάνοντες δὲ μεθ' ἑαυτῶν, πλὴν τῶν οἰκογενειῶν αὐτῶν, καὶ ὅσον ἕκαστος ἠδύνατο νὰ φέρῃ ἐπὶ τῶν νώτων· οἱ δὲ πολιορκηταὶ ἦσαν ὑπόχρεοι νὰ μετενέγκωσιν αὐτοὺς εἰς Σμύρνην. Τῇ 5 δὲ 'Οκτωβρίου καὶ οἱ ὕστατοι καταλιπόντες τὴν 'Ακρόπολιν ἐπέβησαν ἐξ πλοίων, ἑνὸς ἀγγλικοῦ, τριῶν ῥαγουσαίων καὶ δύο γαλλικῶν, μισθωθέντων ὑπὸ τοῦ Βενετοῦ στρατηγοῦ καὶ ἀπῆλθον περὶ τοὺς τρισχιλίους, ὧν πεντακόσιοι ὁπλῖται. Πλείονες δὲ τῶν τριακοσίων καταμείναντες ἐβαπτίσθησαν καὶ ἐγένοντο χριστιανοί.

Περὶ τῶν ὡς ἀληθῶς γνωστῶν καὶ ἀκριβῶν λεπτομερειῶν τούτων ἔχομεν τὰς ἑξῆς μαρτυρίας. 'Η Akerhjelm ἐν τῇ ἐξ 'Αθηνῶν ἐπιστολῇ πρὸς τὸν ἀδελφὸν αὐτῆς γράφει· « *Μετὰ ὀκτὼ ἡμερῶν* ἀντίστασιν οἱ Τοῦρκοι ὕψωσαν λευκὴν σημαίαν, ἐπειδὴ οὐδαμῶς προσεδόκων ὅτι ὁ σερασκιέρης ἤθελεν ἀναδεχθῆ σπουδαίως νὰ δράμῃ εἰς βοήθειαν αὐτῶν » (1). Καὶ ὁ Hombergk γράφει ἐν τῷ ἡμερολογίῳ αὐτοῦ· « Τὸ φρούριον ἠμύνατο καθ' ὅλου μετὰ γενναιότητος *ἐπὶ ὀκτὼ σχεδὸν ἡμέρας*, ἀλλὰ τέλος προχθές, ἐπειδὴ ἡ φρουρὰ εἶχε ταλαιπωρηθῆ δεινῶς ὑπὸ τοῦ βομβαρδισμοῦ, ἐγένετο συνθήκη, καὶ οἱ Τοῦρκοι θὰ ἐξέλθωσιν αὔριον (3 'Οκτωβρίου ν. ε.) μετὰ τῶν γυναικῶν, τῶν παίδων καὶ τῶν πραγμάτων αὐτῶν » (2). Αἱ δὲ χειρόγραφοι ἐφημερίδες τῆς Βενετίας ἀναφέρουσι ταῦτα· « *Alli 27* si seguito a battere la piazza con speranza di far breccia· ma indarno, essendo tutto scoglio . . . La mattina delli 28 capito aviso che il serasciero etc » (3). Μάλιστα δὲ ἡ πρὸς τὸν Δόγην ἐπίσημος ἔκθεσις τοῦ Μοροζίνη· « Tutta volta pero lusingati dalla speranza d'essere dal seraschier. . . e per verita incapo all'ottavo giorno. . .

(1) Παρὰ Laborde II σελ. 317 κέξ.
(2) Παρὰ Laborde II σελ. 357 κέξ.
(3) Raporti di Venezia 22 Nov. 1687.

un grosso nervo di cavalleria . . . . esposero bandiera bianca » (1).

Ε'

Ἐγκατάλειψις τῶν Ἀθηνῶν.

Ἡ σημείωσις τοῦ καλογήρου λέγει· «Καὶ εἰς τοὺς ΑϚΗΗ μαρτύου 14 ἐμετήκησαμεν εἰς Περέαν καὶ εἰς Σαλαμήναν καὶ εἰς Πελοπόννησον». Ταῦτα δὲν εἶναι κατὰ πάντα ἀκριβῆ· διότι πρῶτον μὲν δὲν ἀναφέρεται ὡς τόπος μετοικήσεως τῶν Ἀθηναίων ἡ Αἴγινα, ἔνθα πλεῖστοι Ἀθηναῖοι ὑπὸ τὸν Δημήτριον Γάσπαρην ἔπλευσαν καὶ διέμειναν (2)· δεύτερον δὲ οὐδεὶς Ἀθηναίων μετῴκησεν εἰς Πειραιᾶ· διότι ἀτείχιστος ὢν πάντη, μᾶλλον τῶν Ἀθηνῶν ἦτο ἐκτεθειμένος εἰς τὰς ἐπιδρομὰς τοῦ Σερασκιέρη τῶν Θηβῶν. Ἀλλὰ πιθανώτατα ὁ καλόγηρος τοῦ Ἀστερίου ἐννοεῖ ὅτι ἐκ τῆς Μονῆς αὐτοῦ τῇ 14 Μαρτίου κατέβη εἰς Πειραιᾶ, ἐκεῖθεν δὲ μετὰ διατριβὴν βραχεῖαν μετῴκησε μετ' ἄλλων εἰς Σαλαμῖνα, ὅπου βεβαίως διάγων ἔγραψε τὸ σημείωμα αὐτοῦ ἐπὶ τοῦ μηναίου τοῦ Ἀστερίου, ὅπερ μεθ' ἑαυτοῦ ἔφερεν, ὥσπερ ὁ Αἰνείας τοὺς ἐφεστίους θεούς, ἐδωρήσατο δὲ τῇ ἐν Σαλαμῖνι Μονῇ τῆς Φανερωμένης, ἔνθα τελευταῖον τὸ πολυτιμότατον τοῦτο κειμήλιον ἀνεκαλύφθη.

Γνωρίζομεν δὲ περὶ τῆς ἐγκαταλείψεως τῶν Ἀθηνῶν ὅτι μετὰ συμβούλιον γενόμενον τῇ 31 Δεκεβρίου 1687 (ν. ε.) ἐν Πειραιεῖ, ἐπειδὴ καὶ νὰ ὀχυρωθῇ ἡ πόλις δὲν ἦτο δυνατόν, διότι καὶ χρόνου μακροῦ ἐδεῖτο καὶ δεκακισχιλίων στρατιωτῶν, μικρὰ δὲ φρουρὰ καταλιπομένη ἐπὶ τῆς Ἀκροπόλεως δὲν ἠδύνατο ν' ἀντίσχῃ εἰς τὰς προσβολὰς τῶν Τούρκων ἀπὸ τῶν Θηβῶν, ἂν δὲ ἦτο μείζων, ἤθελεν ἐξασθενώσῃ τὸν

(1) Rawdon Brown Ἀρχ. Βενετίας. — Hopf ἀνωτ. — Ὅρα ἡμετέρας διατριβῆς «ἡ καταστροφὴ τοῦ Παρθενῶνος» σελ. 20 σημ. 32 καὶ 34. Ταὐτὰ περίπου ἀναφέρει καὶ ἐπιστολή τις τοῦ ἐν Ἄνδρῳ προξένου τῆς Γαλλίας πρὸς τὸν ἐν Κωνσταντινουπόλει πρεσβευτήν· «Il signor capitan generale è andato in Atene, ivi a combattuto tre giorni con la fortezza in che erano dentro i Turchi colle cannonate e bombe si attacco la munizione loro e si fece cascar il tempio d'ignoto Deo che li Turchi avevano moschea ove si trovano le famiglie loro, si amazzanono in circa duecento persone».

(2) *Fanelli* 311, 676. 677. — *Locatelli* II, 50. — *Pfister* σελ. 119.

καὶ ὑπὸ τοῦ λοιμοῦ δεινῶς ἐλαττωθέντα στρατόν, μέλλοντα τῷ προσεχεῖ θέρει νὰ ἐπιχειρήσῃ τῇ πολιορκίᾳ τῆς Χαλκίδος, ἐκρίθη καλὸν ν' ἀπέλθωσιν οἱ κατακτηταὶ τῶν Ἀθηνῶν (1).

Μάτην ἐδεήθησαν οἱ Ἀθηναῖοι, μάτην ὑπέσχοντο χρηματικὰς εἰσφορὰς γενναίας ὑπὲρ τῆς ὀχυρώσεως καὶ προσωπικὴν συνεργασίαν πάντων τῶν πολιτῶν (2). Τῇ 25 Μαρτίου / 4 Ἀπριλίου ἐξεδόθη διαταγὴ περὶ ἀναζεύξεως τοῦ στρατοῦ καὶ τῇ 30 Μαρτίου / 9 Ἀπριλίου καὶ οἱ ὕστατοι στρατιῶται τῆς χριστιανικῆς στρατιᾶς ἐγκατέλιπον τὸν λιμένα (2). Οἱ πλεῖστοι τῶν Ἀθηναίων πρὸ τοῦ στρατοῦ βεβαίως ἐγκατέλιπον τὴν πόλιν αὐτῶν ἀρξάμενοι πρὸ τῆς 14/24 Μαρτίου, ἀπὸ τῆς 10/20 τοῦ μηνὸς τούτου (4), πολλοὶ δ' ὅμως διέμειναν μέχρι τῆς τελευταίας ὥρας τῆς ἀποχωρήσεως τοῦ στρατοῦ μὴ δυνάμενοι ὑπὸ ἀπορίας, λύπης καὶ πόθου τῆς ἑστίας αὐτῶν ν' ἀπέλθωσι μακρὰν τῆς πατρίδος (5). Ἀλλ' ἐννοεῖται εὐχερῶς ὅτι οἱ καλόγηροι τῆς Μονῆς τοῦ Ἀστερίου ἐφρόντισαν μεταξὺ τῶν πρώτων νὰ διασώσωσι τῆς μακαρίας ψυχῆς αὐτῶν τὸ ταπεινὸν σκήνωμα. Δικαίως λοιπὸν γράφει ὁ τῆς σημειώσεως συγγραφεὺς «μαρτύου 14 ἐμετήκησαμεν εἰς Πειρ. κτλ.», ἐννοῶν ὅτι αὐτὸς καὶ οἱ συμμονασταὶ αὐτοῦ, μεθ' ὧν καὶ πολλοὶ ἄλλοι τῶν Ἀθηναίων, ἀπέπλευσαν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ Πειραιῶς. Δὲν ἰσχυρίζεται δὲ ὁ ἄνθρωπος ὅτι μύριοι καὶ πεντακισχίλιοι Ἀθηναῖοι καὶ δεκα-

(1) Rawdon Brown Ἀρχεῖα τῆς Βενετίας.

(2) Fanelli 311, 675.—Locatelli II, 39.

(3) Ὁ μετασχὼν τῶν ἔργων ἐκείνων Γερμανὸς *Sobiewolsky* (Tagebuch· παρὰ *Pfister* σελ. 120) ἀναφέρει ὅτι τῇ 4 Ἀπριλίου (ν. ε.) ἐξεδόθη ἡ περὶ ἐγκαταλείψεως τῶν Ἀθηνῶν διαταγή, ὅτι δὲ ἀπῆλθον τῶν Ἀθηνῶν τῇ 9 Ἀπριλίου. Ὁ *Schwenke* (σελ. 162), ἐξ ἡμερολογίων καὶ ἐπιστολῶν Γερμανῶν μισθοφόρων ἀρυόμενος, ὁρίζει ἡμέραν ἐκδόσεως τῆς διαταγῆς τὴν 5 Ἀπριλίου, τὴν 9 δὲ τοῦ αὐτοῦ μηνὸς ὁρίζει καὶ οὗτος ὡς ἡμέραν ἀπόπλου διὰ τὸν Πόρον.

(4) Ὁ Locatelli συμφωνεῖ μὲν τούτοις ὅσον ἀφορᾷ εἰς τὴν ἡμέραν τοῦ ἀπόπλου, λέγει δὲ ὅτι οἱ Ἀθηναῖοι ἐγκατέλειπον τὴν πόλιν ἀπὸ τῆς 10/20 μέχρι τῆς 18/28 Μαρτίου. Ἡ Akerhjelm γράφει «1688... Τῇ 6 Ἀπριλίου (27 Μαρτίου). Ἐγκαταλιμπάνομεν τὸν λιμένα· παραπλέομεν τὴν Σαλαμῖνα καὶ Αἴγιναν, ἔνθα ἔχουσι μετενεχθῆ οἱ Ἕλληνες τῶν Ἀθηνῶν». Ἀξιωματικός τις δὲ Βενετὸς (παρὰ Laborde II, 161) γράφει ἐν ἐπιστολῇ τῆς 8 Ἰουνίου 1688 «Noi *alli* 4 dell trascorso *aprile* abbantonamo la fortezza e città, ed in isquadrone ci portammo ad campo *e dopo tre giorni* c'imbarcamo».

(5) Οἱ πτωχοὶ μετὰ ἰσχυροῦ πεζοῦ στρατοῦ, ἐσχάτου βεβαίως ἀπελθόντος τῆς πόλεως, ἐπορεύθησαν πεζῇ εἰς Κόρινθον. Fanelli 311, 676.—Locatelli II, 50.—Pfister 119.

χισχίλιοι τῆς Βενετικῆς στρατιᾶς τῇ 14 Μαρτίου ἀθρόοι ἀπῆλθον τῆς πόλεως, ἀκολουθοῦντες τὸ ἀπὸ τῶν Ἀθηνῶν μεταφερόμενον Μηναῖον, ὡσεὶ ἦρε τοῦτο τὴν ἐπὶ τοῦ ἄστεως προστασίαν αὐτοῦ, ὡς πάλαι ποτὲ ὁ οἰκουρὸς ὄφις.

Ἐκ τῶν εἰρημένων λοιπὸν καταδείκνυται ὅτι τῶν ἐν τῷ Μηναίῳ σεσημειωμένων τὰ μὲν ἀκριβῆ δὲν εἶναι ἄγνωστα ἀλλὰ μετὰ παμπόλλων καὶ παντοδαπῶν λεπτομερειῶν γνωστά, τὰ δὲ ἄγνωστα εἶναι παντάπασιν ἀνακριβῆ. Τῆς ἀνακριβείας δὲ ταύτης μαρτύριον λίαν χαρακτηριστικὸν ἔστω καὶ τόδε. Ἡ σημείωσις ἐν ἀρχῇ λέγει «Εἰς τοῦς Α687 *σεπτεμβρίου 9* ἐφάνη ἡ ἀρμάδα τοῦ Βενεκυανου *ἡμέρα σαβάτο*»· ἀλλ' ὅμως τῷ 1687 ἡ ἐνάτη Σεπτεμβρίου ἦτο ἡμέρα *παρασκευὴ* καὶ ὄχι *σαβάτο*.

ΚΑΠΝΙΚΑΡΕΑ - ΚΑΜΟΥΚΑΡΕΑ

Πολλὰ περὶ τοῦ ὀνόματος τοῦ ναοῦ τούτου ἐρρήθησαν. Παραλείποντες ὅσα ἀσύστατα εἶπον οἱ πρότερον, ὡς οὐδενὸς λόγου ἄξια, ἐρχόμεθα εἰς δύο σπουδαίως εἰρημένας γνώμας.

Ὁ ἀείμνηστος ἐπιμελητὴς τῶν χειρογράφων τῆς Ἐθνικῆς Βιβλιοθήκης Ι. Σακελλίων, περὶ τὰ κατὰ τὸν μέσον αἰῶνα τοῦ ἡμετέρου ἔθνους πράγματα εἴπερ τις καὶ ἄλλος ἐμπείρως ἔχων, ἐν τῇ *Στοᾷ* τοῦ 1884 ἀπεφήνατο γνώμην, ὅτι ὁ ναὸς πιθανῶς ἐκλήθη ὑπό τινος καπνικαρίου, τὸν καπνικὸν παρὰ Βυζαντίνοις λεγόμενον φόρον εἰσπράττοντος, καὶ τὸν ναὸν ἱδρύσαντος ἰδίᾳ δαπάνῃ. Ἐν τῷ δελτίῳ δὲ τῆς *Ἑβδομάδος* (τόμ. α' ἀρ. 18) ἔγραψεν ὁ *Ἀττικὸς* (Δ. Γρ. Καμπούρογλους) ὅτι τὸ ὄνομα *Καπνικαρέα* «εἶναι δημιούργημα τῶν ἀγνοούντων τὴν σημασίαν τοῦ ὀνόματος» *Καμουκαρέα* (1), ὡς ὑπὸ τῶν πολλῶν καλεῖται ἡ ἐκκλησία αὕτη, ἀλλαχοῦ δὲ λέγει ὅτι ὠνομάζετο ὁ ναὸς οὕτω διὰ τὸν καλύπτοντα τὴν εἰκόνα τῆς ἐν αὐτῷ Παναγίας *καμουκᾶν* (2), τὸ πολύτιμον τῶν παρελθόντων αἰώνων ὕφασμα.

(1) Ἐκαλεῖτο καὶ Καμηκαρέα, Χρυσοκαμουκαριώτισσα, Χαμουκαρέα, Καμκαρέα, Παναγία τῆς Βασιλοπούλας καὶ Παναγία τοῦ Πρέντζα.

(2) Δουκάγγ. Glossarium mediæ et infimæ Græcitatis ἐν λέξει.

Ἀλλ' ἡ γνώμη αὕτη μέγαν κίνδυνον ἐκινδύνευσεν ἐκ τῆς ἀνακαλύψεως μηναίου τινὸς καταλεγομένου ἄλλοτε εἰς τὰ ἱερὰ βιβλία τῆς ἐκκλησίας ταύτης, ἀνευρεθέντος ἐν τῷ μητροπολιτικῷ τῶν Μεγάρων ναῷ τῆς Παναγίας καὶ ἤδη κειμένου ἐν τῷ τμήματι τῶν χειρογράφων τῆς Ἐθνικῆς Βιβλιοθήκης. Τὸ μηναῖον τοῦτο, ὡς μετὰ τὰ στιχηρὰ τοῦ μηνὸς Μαρτίου ἀναγράφεται, «ἐτυπώθη ἐνετίῃσι παρὰ Βαρθολομαίῳ τῷ ἰαννίνῳ ἀναλώμασι καὶ ἐπιμελείᾳ κυρίου ἀνδρέου τοῦ σπινέλλου, ἐν ἔτει ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν ἰησοῦ Χριστοῦ χιλιοστῷ πεντακοσιοστῷ τεσσαρακοστῷ ὀγδόῳ ὀκτωβρίου ὀγδόῃ ἱσταμένου». Ἐν τῷ β' φύλλῳ τοῦ μηνὸς Μαρτίου καταχωρίζονται δώδεκα δίστιχα ἐλεγεῖα, ὧν ἡ ἀρχὴ

«Ἑλλαδικῶν χαρίτων τὸ κλέος βαρὺς ὤλεσεν αἰὼν
βαρβαρικοῖς δαμάσας ἤθεσιν ἀγλαΐαν,»

ἐπιστελλόμενα ὑπὸ Ἰάννου τοῦ Μινδονίου «τῷ ἁγιωτάτῳ ἀρχιερεῖ κωνσταντινουπόλεως κυρίῳ διονυσίῳ», γνωστὰ ἤδη ἐκ τοῦ συγγράμματος τοῦ Legrand (Bibliographie Hellénique vol. II, 187).

Ἐν τῇ πέζῃ δὲ τοῦ αὐτοῦ φύλλου ὑπὸ τὰ ἐλεγεῖα φέρονται χειρόγραφα τάδε·

«Ἐν μηνὶ Ὀκτωβρίου ιδ' ἔτους, ζξζ'ου (1)

† Εἰς δόξαν τοῦ κυρίου ἡμῶν Ιυ Χυ καὶ εἰς τιμὴν καὶ δόξαν τῆς ὑπὲρ εὐλογημένης (2) ἐνδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῆς ἐπονομαζομένης Καπνικαρέας· ἐπαφῆκαν διὰ ψυχικὴν σωτηρίαν καὶ διὰ μνημόσυνον τῶν γεννητόρων αὐτῶν εἰς τὸν ἄνωθεν ναὸν μῆνας τρεῖς ἤγουν Μάρτιον, καὶ Ἀπρίλιον, καὶ Μάϊον τοὺς ὁποίους τρεῖς μῆνας, οἱ δύο μοναχαῖς ἤγουν Σωφρονία ἐκ μέρους τῶν Κορφῶν· καὶ ἡ ἑτέρα Σωφρονία καὶ αὐτὴ ἐκ μέρους Ἀθηνῶν, ἡ ὁποῖοι ἄνωθεν τρεῖς μήναις, ἐδέθησαν εἰς τρία μέρη, ὁ καθ' ἕνας μήνας μὲ τὰ σανιδόπουλάν του (3). Λοιπὸν λέγομεν καὶ τοῦτο· ὅτι ἤτις ἐκεῖνος ὁποῦ ἤθελεν τὰ ὑστερίσι, ἀπὸ τὸν ἄνωθεν ναὸν τῆς ὑπὲρ ἁγίας

(1) Ἀπὸ Χριστοῦ 1559.
(2) Ἡ Ὑπεραγίας.
(3) Νῦν σώζονται ὁ Μάρτιος καὶ Ἀπρίλιος μόνον δεδεμένοι εἰς ἕν.

δεσποίνης ἡμῶν Θεοτ(όκου) νὰ ἔχει τὰς ἀρὰς τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων Πατέρων τῶν ἐνικαιὰ Συνόδων· καὶ ἡ μερὶς αὐτοῦ μετὰ τὸν Ἰούδαν ὁμοίως καὶ μετὰ τῶν ὑποκριτῶν· τὸ ἆρον ἆρον σταύρωσον αὐτόν».

Ἰδοὺ λοιπὸν πρὸ 333 ἐνιαυτῶν δύο σωφρονέσταται μὲν βεβαίως, ἀλλ' ἴσως οὐχὶ καὶ λογιώταται ἅμα, μοναχαὶ παρέρχονται δειναὶ πολέμιαι τῆς γνώμης τοῦ Ἀττικοῦ. Ὁ ταλαίπωρος καμουκᾶς ἀπορρίπτεται, προφαίνονται δὲ τὰ εἰκῇ εἰρημένα ὑπὸ τῶν πρότερον.

Ἀλλ' ὁ πρῶτος τῶν ἐπαϊόντων μελετήσας τὸ μηναῖον καὶ γράψας περὶ αὐτοῦ (1) ἔμεινεν ἀθέατος τῶν ἐν τῷ τελευταίῳ φύλλῳ τοῦ Μαρτίου· διότι ἐνταῦθα ἀναγράφονται τὰ τρία σημειώματα τάδε:

1) «Ετουτὼ τὸ χαρτὴν ὑνὲ τῆς κάμουκάρεας καὶ ὡπύῶς τὼ παρὶ νά εχὺ τὸ αφώρεςμό του μέτρωπόλὶτύ κὲ ηχθτέρου τοῦ πάπά θώμά δόξα σί ὡ θεός ὑμον κύριε».

2) «Ετόυτω το μύνεο υνε τῆς κὰμηκὰρεὰς καὶ οπη τὸ χάλάσι να εχη τον αχο εχη τον αφορεςμο τοῦ κάρὴκὶ ενη μετασαρκοσις καὶ ζουντομε . . . , τος

παπας κιορβας

(εἰς) τη καμουκαρέ(α) (3).

3) «Ετουτω το το μινεο ηνε της καμουκαρεας απο εμενα το γιοργακη πολαχαρις μιχαηλος γραφο».

Οὕτως ἐπανερχόμεθα εἰς τὸν *Καμουκᾶν*. Σύγχυσις λοιπὸν πάλιν καὶ ἀμφιβολία. Δύο μὲν μοναχαί, ὧν ἡ ἑτέρα οὐχὶ ἐξ Ἀθηνῶν, ἀλλὰ Κερκυραία, θέλουσι νὰ καλῆται ἡ ἐκκλησία Καπνικαρέα, δύο δὲ ἱερεῖς, ἀμφότεροι ἴσως ἐφημέριοι τοῦ ναοῦ, ὀλιγώτερον λόγιοι τῶν μοναχῶν, καλοῦσιν αὐτὸν Καμουκαρέαν καὶ Καμηκαρέαν, οὐδέτερος δὲ Καπνικαρέαν. Εἶναι δὲ οἱ γράψαντες ταῦτα ἱερεῖς σύγχρονοι ὁπωσδήποτε τῶν ἀφιερωσασῶν τὸ μηναῖον μοναχῶν (μ. Χ. 1559), ὡς δηλοῦται ἐκ τῆς ἐπικλήσεως κατὰ τῶν ἁρπάγων τοῦ πολυτιμοτάτο μηναίου τοῦ ἀφορισμοῦ τοῦ Καρύκη, κατ' ἐκείνους περίπου τοὺς χρό-

(1) Ἴδε *Ἑστίας Δελτίου* ἀρ. 667 (1889).


νους μητροπολίτου ὄντος Ἀθηνῶν καὶ μετ' ὀλίγον πατριάρχου Κωνσταντινουπόλεως (1).

Τί δ' ἐκ τούτων ἐξάγομεν;


Ὅτι ὁ μὲν πολὺς λαός, ἐν οἷς καὶ οἱ κοινοὶ ἱερεῖς, ἐκάλουν τὸν ναὸν διὰ τοῦ συνήθους καὶ μόνου ἀληθοῦς ἐκ τοῦ καμουκᾶ ὀνόματος *Καμουκαρέαν*, οἱ δὲ σοφολογιώτατοι, καὶ τότε ὅπως νῦν, *Καπνικαρέαν*.

Ἐπὶ τῇ εὐκαιρίᾳ τοῦ περὶ τῆς ἐκκλησίας ταύτης λόγου, ἀνακοινοῦμεν καὶ δύο ἐπιγραφὰς ἐξ αὐτῆς.

Ἐπὶ τοῦ ἐσχάτου πρὸς βορρᾶν περιεργοτάτου κιονοκράνου τοῦ προνάου εἶναι ἀναγεγλυμμένον τὸ συμπίλημα τῶν γραμμάτων τόδε·



δηλοῦν ὅτι ὁ στῦλος οὗτος εἶναι ἀφιέρωμα Γεωργίου τινὸς ἄγνωστον ποίου καὶ πότε βιώσαντος. Ὄπισθεν δὲ τοῦ ναοῦ παρὰ τὴν θυρίδα τοῦ πρὸς βορρᾶν παρεκκλησίου τῆς Ἁγίας Βαρβάρας ἐπὶ τεμαχίου γείσου ὕψους 0,8 ἡ ἐπιγραφὴ ἥδε·




«(πε)ρικέκλιστε· Στρατολάου ἐνθάδε κῖτε θυ(γάτηρ)·ἅμα Εὐφημεία ὁ κὲ τούτης ἀνὴρ Ἀδόλιος».

Εἶναι δὲ ἀρχαίων χριστιανικῶν χρόνων ὡς δηλοῦσιν οὐ μόνον τὰ ἀρχαϊκὰ ὀνόματα Στρατόλαος καὶ Ἀδόλιος, ἀλλὰ καὶ ὁ χαρακτὴρ τῶν γραμμάτων.

---

(1) Δ. Γρ. Καμπούρογλου Ἱστορία τῶν Ἀθηναίων τόμ. α', σελ. 383 κἑξ.


1 2 3 4 5
6 7 8
9 10 11 12
13 14 15
16 17 18
19 20 21 22
23 24 25 26 27
28 29 30 31

Κ. Γ. ΖΗΣΙΟΥ.

ΦΙΛΟΛΟΓΙΚΑ ΣΥΜΜΙΚΤΑ

Α'.

Κατέχω τινός.

'Εν τοῖς Στρατηγήμασι τοῦ Πολυαίνου βιβλ. Α', κα', 1 κεῖται «ἀδεῶς εἰσήλασε καὶ *τῆς τυραννίδος* τῶν 'Αθηναίων *κατέσχεν*». 'Ο Βυττεμβάχιος μεταβαλὼν ἐν τῇ ἐκδόσει τῶν 'Ηθικῶν τοῦ Πλουτάρχου Τόμ. Ζ', σελ. 380 τὸ παρὰ τῷ Πολυαίνῳ βιβλ. ϛ', ζ', 2 γεγραμμένον «*κατέλυσε* τὴν τυραννίδα» εἰς τὸ «*κατέσχε* τὴν τυραννίδα» ἐπιφέρει «ut L. I. 21, 3. τῆς τυραννίδος τῶν 'Αθηναίων κατέσχε, ubi aut legendum τὴν τυραννίδα, aut var. lect. ἐκράτησε recipienda. III. 8. τὴν 'Αργείων τυραννίδα κατέσχεν. VI. 45. τὴν Σαμίων ἀρχὴν κατέσχεν. VII. 6, 2. τὴν Σάμον κατέσχεν».

'Αλλ', ὡς εἶπεν ὁ Πολύαινος ἐν βιβλ. Δ', ζ', 6 «ἐπιστρέψαντες εὐθὺς *τοῦ Πειραιῶς κατέσχον*» καὶ ἐν βιβλ. Ε', ϐ', 4 «πρὸς τὸ *κατασχεῖν* (*τῆς*) *ἀκροπόλεως καὶ τῶν χρημάτων*», οὕτω πιθανώτατα καὶ ἐν βιβλ. Α', κα', 1 «*τῆς τυραννίδος* τῶν 'Αθηναίων *κατέσχεν*». Δοξάζει δὲ καὶ ὁ Σχαιφῆρος ἐν ταῖς 'Ελλείψεσι τοῦ Βοσίου σελ. 44 ὅτι πρέπει νὰ μένῃ ἀκίνητον τὸ χωρίον τοῦτο τοῦ Πολυαίνου.

'Εν ταῖς 'Επιστολαῖς τοῦ 'Αλκίφρονος ἀπαντᾷ βιβλ. Γ', μδ', 1 «εὐδοκιμεῖ δὲ τὰ νῦν Γρυλλίων μόνος καὶ *κατέχει τοῦ ἄστεος*». Ποιεῖται δὲ περὶ αὐτοῦ ὁ Βεργλῆρος τὴν παρατήρησιν τήνδε· «εὐδοκιμεῖ — καὶ κατάρχει τοῦ ἄστεος: ex alio pro κατάρχει habemus κατέχει, quod magis placet, si pro τοῦ ἄστεος legas τὸ ἄστυ». Γράφει δὲ καὶ ὁ Κόβητος ἐν *Var. Lect.* σελ. 62 «κατέχει τοῦ ἄστεος: *Græcum* est τὸ ἄστυ, ut κατέχειν τὸ θέατρον». 'Αναμφίβολον ἡμῖν φαίνεται ὅτι ὑπὸ τοῦ 'Αλκίφρονος ἐρρήθη «κατέχει *τοῦ ἄστεος*» (Ἴδε καὶ Σχαιφῆρον εἰς *Φαλάρ. 'Επιστ.* σελ. 373). Οὐδεὶς δὲ νῦν ἀγνοεῖ ὅτι ὁ 'Αττικὸς τύπος τῆς γενικῆς τοῦ *ἄστυ* εἶνε *ἄστεΩΣ*.

Κελεύει δ' ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1875, σελ. 379 νὰ μετατυπωθῇ ἐν τῇ ῥήσει τοῦ Ἐρωτιανοῦ σελ. 104, 19 Κλ. «καὶ γὰρ ἐν τῷ βίῳ προπετεῖς ἀνθρώπους λέγομεν τοὺς μὴ *κατέχοντας ἑαυτῶν*» ἡ γενικὴ *ἑαυτῶν* εἰς τὴν αἰτιατικὴν *ἑαυτούς*. Ἐλέχθη δ' ὅμως καὶ ὑπὸ τοῦ Ἀππιανοῦ σελ. 28, 15 Μενδ. «ὁ δὲ τέως μὲν *αὑτοῦ κατεῖχε*» καὶ σελ. 663, 20 «ὁ δὲ Σύλλας οὐ *κατασχὼν αὑτοῦ* καὶ τοῦτ' ἐν τέλει τῆς ἐπιστολῆς ἀνεκάλυπτεν» καὶ ὑπὸ Κλήμεντος τοῦ Ἀλεξανδρέως σελ. 875 «ὁ γὰρ ἐπιθυμήσας καὶ *κατασχὼν ἑαυτοῦ* κτέ.» καὶ ὑπὸ τοῦ Ἡρῳδιανοῦ Ἱστορ. σελ. 10, 11 Μενδ. «ὡς μηδὲ *κατασχόντας αὑτῶν* τινας εἰς οἰμωγὴν ἀναβοῆσαι» καὶ σελ. 15, 9 «μὴ *κατασχόντες αὑτῶν* ἀλλ' ἕκαστος φθάσαι θέλων» καὶ σελ. 31, 20 «μηκέτι *κατέχων ἑαυτοῦ* δημοσίᾳ θέας ἐπετέλεσεν» καὶ σελ. 43, 5 «μὴ *κατασχὼν ἑαυτοῦ* ὁ δῆμος — Σεβαστόν τε ἀναγορεύει κτέ.» (Ἴδε καὶ Ἑρουερδῆνα ἐν *Μνημοσ.* 1884, σελ. 2). Παρὰ Σωκράτει τῷ Σχολαστικῷ Ἐκκλ. Ἱστορ. σελ. 435 Οὔσσ. φέρεται «οὐ γὰρ ἔτι *κατεῖχεν ἑαυτοῦ* ὁ πρώην φιλοσοφεῖν ἐπαγγελλόμενος». Εἶνε δ' ὑπὸ τοῦ ἐκδότου σεσημειωμένον ὅτι ἔν τινι τῶν κωδίκων μετεβλήθη ὑπὸ τῆς αὐτῆς χειρὸς τὸ *ἑαυτοῦ* εἰς τὸ *ἑαυτόν*. Καὶ ἐν τοῖς εἰς Δημοσθένη Σχολίοις σελ. 69, 10 Δινδ. ἓν τῶν ἀντιγράφων ἀντὶ τοῦ «μὴ δυνάμενον *ἑαυτοῦ κατασχεῖν*» ἔχει *ἑαυτόν*.

Ὑπὸ τῶν παλαιῶν Ἑλλήνων ἐλέγετο *κατέχω τι*, *κατέχω τινά*, *κατέχω ἐμαυτόν*, οὗ καὶ ὑπὸ τοῦ Ἀριστοτέλους ἐγένετο χρῆσις ἐν τῇ Ἀθηναίων Πολιτείᾳ σελ. 49 «ὑπὸ τῆς ὀργῆς οὐ *κατεῖχεν ἑαυτόν*», ὑπὸ δὲ τῶν μεταγενεστέρων συνετάσσετο τὸ ῥῆμα *κατέχω* καὶ γενικῇ πτώσει.

Ἀσμενίζει δὲ τῇ συντάξει ταύτῃ ὁ Ἀππιανὸς λέγων

τοῦ πλέονος Ῥωμαῖοι κατέσχον, ὅσου Καρχηδόνιοι κατεῖχον σελ. 58, 5 Μενδ.

τῆς Κομπλέγας κατέσχε καὶ τῶν περιοίκων σελ. 96, 4.

Καρχηδόνος κατασχεῖν σελ. 297, 23.

τοῦ χώματος ὅλου κατασχών σελ. 312, 19.

Λιβύης Ῥωμαῖοι κατέσχον σελ. 323, 23.

Κιλικίας τε καὶ Συρίας κατέσχον σελ. 420, 1.

Καππαδοκίας κατέσχεν σελ. 448, 5.

τοῦ Πόντου κατασχεῖν σελ. 448, 12.

καὶ τοῦδε Ἀρχέλαος κατέσχεν σελ. 469, 3.
οὐ κατέσχομεν ὑμῶν σελ. 500, 21.
κατασχεῖν ὧν ὑπόσχοιτο σελ. 584, 6.
τῆς τε χώρας καὶ πόλεως κατασχεῖν σελ. 724, 11.
καθέξειν τῆς ὀργῆς σελ. 867, 11.
οὐ καθέξοντες ὧν ἐπενόουν σελ. 870, 25.
τῆς σιωπῆς οὐ κατέσχεν σελ. 880, 18.
τοῦ στρατοπέδου κατέσχεν σελ. 907, 18.
οὐ κατασχὼν τῆς ὁρμῆς ὁ Ἀντώνιος σελ. 1107, 23.
κατασχόντα Σαρδοῦς σελ. 1114, 23.
αὐτῶν τε κατέσχε καὶ Μυλῶν σελ. 1158, 18.
κατεῖχε τῆς πόλεως σελ. 1163, 10.

Καὶ ἄλλοι δὲ τῶν μεταγενεστέρων παρέχουσιν ἡμῖν παραδείγματα τῆς περὶ ἧς ὁ λόγος χρήσεως, οἷον

Διόδ. Σικελ. ΙΒ΄, πϐ΄, 4 «τῆς Παραποταμίας βίᾳ κατέσχον».

Στράϐ. σελ. 855, 6 Μειν. «ὥστε καὶ τῆς Καρίας κατασχεῖν» (Πρϐ. Μεινέκιον ἐν *Vindic. Strabon.* σελ. 177).

Δίων Χρυσόστ. Τόμ. Β΄, σελ. 210 «Μυτιληναῖοί ποτε λέγονται τῆς Αἰολίδος κατασχόντες καὶ τῶν περὶ τὸν Ἑλλήσποντον — τόπων κτέ.».

Ἰώσηπ. Ἰουδ. Ἀρχ. Ϛ΄, ια΄, 9 «οὐ γὰρ κατέσχε τῆς ὀργῆς Σάουλος» καὶ Ζ΄, ζ΄, 1 «τῆς ἐπιθυμίας κατασχεῖν οὐ δυνάμενος μεταπεμψάμενος αὐτὴν συνέρχεται» (Ἴδε Νίσιον εἰς *Ἰώσ.* Τόμ. Β΄, σελ. 56, 5 καὶ σελ. 119, 4).

Ἰω. Χρυσόστ. Ὁμιλ. εἰς Ματθ. σελ. 270 α΄ «ὁ δὲ γαστρὸς κατέχειν» καὶ σελ. 387 γ΄ «τῆς μὲν τυραννικωτάτης ἡδονῆς κατέσχε — δακρύων δὲ οὐ κατέσχεν» καὶ σελ. 456 ϐ΄ «πολλάκις γοῦν κατέσχες ὀργῆς» καὶ σελ. 821 ε΄ «δυσκολώτερον τούτου κατασχεῖν ἢ ἐκείνου τοῦ πάθους».

Ἐφραίμ. 1823, σελ. 83 «Κοπρωνυμοῦντος κατέχοντος τοῦ κράτους».

Θεοφάν. Χρον. σελ. 119, 2 «μὴ κατασχὼν τῆς ὀργῆς» καὶ σελ. 156, 19 «νήσων πολλῶν τοῖς Ῥωμαίοις ὑποτελῶν κατασχών».

Ἰω. Μαλαλ. σελ. 142, 8 «κατέσχε τῆς Μυκηναίων χώρας ἕως θανάτου».

Εὐστάθ. σελ. 37, 31 (καὶ Εὐδοκ. Ἰων. σελ. 184, 14 Τευβν.) «οὐχ ἁπλῶς οὕτω Δαναὸς ἐλθὼν κατέσχε τοῦ Ἄργους ἀπόνως» καὶ σελ. 1174, 57 «τὸ τῶν Ἡρακλειδῶν ὕστερον γένος — κατέσχε τοῦ Ἄργους».

Φέρεται δὲ καὶ ἐν Ψαλμῷ ΟΒ', 12 «κατέσχον πλούτου» καὶ ἐν Μακκαβαίων Πρώτῳ κεφ. Ϛ', 27 «οὐ δυνήσῃ τοῦ κατασχεῖν αὐτῶν» καὶ ἐν Βίῳ Ἰσοκράτους παρὰ Οὐεστερμ. σελ. 258, 152 «κατέσχον αὐτῆς» καὶ μετ' ὀλίγα «κατέσχε τούτου» καὶ ἐν τοῖς εἰς Αἰσχίνην Σχολίοις σελ. 296 Σχουλτζ. «ἐξ αὐτῆς ὁρμηθέντες κατέσχον τῆς πόλεως».

Ἐν τῷ Λεξικῷ τοῦ Σουίδα εἶνε γεγραμμένον «Κατάσχῃ: αἰτιατικῇ· αὐθυπόταχτον· καὶ οὐ κατασχὼν τῆς χαρᾶς παρελύθην τοὺς τόνους ἀθρόον τοῦ σώματος». Τὸ χωρίον ἐλήφθη ἐκ τῶν τοῦ Νείλου. Θαυμαστὸν δὲ φαίνεται τῷ Γ. Δινδορφίῳ (ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Δ', σελ. 1340) ὅτι κεῖται μὲν τὸ *αἰτιατικῇ*, μνημονεύεται δὲ παράδειγμα ἔχον *γενικήν*.

Παρὰ τῷ Πολυβίῳ βιβλ. ΙΔ', α', 9 ἀνέγνω ὁ Βεκκῆρος «τὰ δὲ μεταξὺ τούτων ἔχειν ἀμφοτέρους ὡς τότε κατεῖχον» ἀντὶ τοῦ «*ὧν* τότε κατεῖχον».

Ἐν τῷ Στοβαίου Ἀνθολογίῳ Κ', 3 γίνεται μνεία δύο στίχων τοῦ Φιλήμονος, ὧν ὁ δεύτερος ἔχει ὧδε·

τὸ γὰρ κατασχεῖν ἐστι τῆς ὀργῆς πόνος.

Ὁ Γεσνῆρος ἔτρεψε τὴν γενικὴν *τῆς ὀργῆς* εἰς αἰτιατικὴν *τὴν ὀργήν*. Τὴν γραφὴν ταύτην ἀπεδέξατο ὁ Μεινέκιος ἐν τῇ ἐκδόσει τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Δ', σελ. 54, ἀλλὰ μεταγνοὺς ἔπειτ' ἀπεφήνατο ὅτι ὀρθότατ' ἔχει ἡ γενικὴ πτῶσις. Παρατιθέμεθα τὰ ὑπὸ τοῦ ἐλλογιμωτάτου ἀνδρὸς εἰρημένα ἐν *Vindic. Strabon.* σελ. 211 «Τῆς Καρίας κατασχεῖν τῆς μέχρι Μύνδου. Non miror hæc corrupta visa esse viris doctis; perrara enim verbi κατασχεῖν cum secundo casu coniunctio, sed certissimis munita exemplis a Schweighæusero ad Appianum vol. 3 p. 120. Hinc corrige quæ scripsi Fragm. com. vol. 4 p. 54 de Philemonis versu, in quo rectissime legitur τὸ γὰρ κατασχεῖν ἐστὶ τῆς ὀργῆς πόνος». Τὴν σημείωσιν τοῦ Σχουειγαιουσήρου ἐπαινεῖ καὶ ὁ Βυττεμβάχιος ἐν τῇ Κριτικῇ Βιβλιοθήκῃ Τόμ. Γ', α', σελ. 97 λέγων «Ῥω-

μαῖοι τοσούτων τῆς Ἀσίας ἐθνῶν κατέσχον· Docte et opportune monetur, *κατέχειν τινός* rariori usu notare, *aliqua re potiri*».

Ὁ Κόκκιος ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Β', σελ. 529, 185 ἐνέκρινε τὴν ἀνάγνωσιν τοῦ Γεσνήρου «τὸ γὰρ κατασχεῖν ἐστι *τὴν ὀργὴν* πόνος».

Ὁ Βαίριος ἐν τῇ ἐκδόσει τοῦ Φιλοποίμενος καὶ Φλαμινίνου καὶ Πύρρου τοῦ Πλουτάρχου σελ. 158 σημειοῦται περὶ τοῦ ἐν τῷ Πύρρῳ κεφ. Ζ' χωρίου «κατασχόντες ἀμφότεροι *Μακεδονίας*» τάδε· «Vulgo Μακεδονίαν, quod etiam apparet in Parisino C. Ex Junt. et Ald. Reiskius dedit Μακεδονίας, approbantibus Parisinis A. D. et Palat. Est enim genitivus partitivus, ut ajunt». Καὶ ἐν τῇ Διδωτείῳ ἐκδόσει τῶν Παραλλήλων τοῦ Πλουτάρχου μεθερμηνεύεται τὸ χωρίον ῥωμαϊστί: *ut Macedoniae partem uterque tenentes.*

Ἐν τῇ ἀρχαίᾳ τῶν Ἑλλήνων γλώσσῃ συνετάσσετο φυσικώτατα τὸ ῥῆμα *κατέχω* αἰτιατικῇ. Ἐν δὲ τῷ παρηκμακότι ἑλληνισμῷ, ἐπειδὴ ἀδιάφορος πολλάκις ἀπέβαινεν ἡ χρῆσις τοῦ *κατέχω τι* καὶ τοῦ *κρατῶ τινος* (*κυριεύω τινός*, *δεσπόζω τινός*), μεθηρμόζετο ἐνίοτε ἡ σύνταξις τοῦ *κατέχω* πρὸς τὴν τοῦ *κρατῶ* καὶ ἐλέγετο *κατέχω τινός*, καθάπερ *κρατῶ τινος*. Εὑρίσκονται δ' ἀμφότερα ταῦτα ἐν τῷ αὐτῷ λόγῳ τεθειμένα παρὰ τῷ Ἀππιανῷ σελ. 8, 26 «Ῥωμαῖοι τοσούτων τῆς Ἀσίας ἐθνῶν *κατέσχον*, ὅσων ἔτι *κρατοῦσι*» καὶ σελ. 131, 16 «εὖ εἰδὼς ὅτι μὴ *κρατήσει* πολεμίων πρὶν *κατασχεῖν* τῶν ἰδίων ἐγκρατῶς». Πρβ. καὶ σελ. 632, 10 «ἐπεὶ τῆς ἀγορᾶς τῆς ἔκ τε θαλάσσης καὶ ἄνωθεν ἀπὸ τοῦ ποταμοῦ φερομένης *κατέσχεν*» καὶ μετ' ὀλίγα «ὡς δὲ καὶ τῆς κατὰ γῆν *ἐκράτησεν* ἀγορᾶς» καὶ Βιογράφ. Οὐεστερμ. σελ. 259, 159 «ἐλθὼν εἰς Θήβας *κατέσχε* τούτων» καὶ 162 «ἦλθεν εἰς Πῖσαν καὶ ὕστερον συμπάσης Πελοποννήσου *ἐκράτησεν*». Δὲν φαίνεται δ' εὔλογος ἡμῖν ἡ γνώμη, καθ' ἣν μεριστικὴ νομίζεται ἡ γενικὴ ἐν τῷ Πλουταρχείῳ «κατασχόντες ἀμφότεροι *Μακεδονίας*».

Β'.

Συμβόλων-συμβούλων.

Ἐν τῷ περὶ Ψυχῆς Ἀλεξάνδρου τοῦ Ἀφροδισιέως (Συμπληρ.

Ἀριστοτ. Τόμ. Β', μέρ. α', σελ. 184, 1 Βρουνσ.) κεῖται «Ἤδη δὲ περὶ τῶν μειζόνων καὶ χαλεπωτέρων οὐκ ὀκνοῦμεν συμβούλους καὶ τοὺς θεοὺς παρακαλεῖν ἀξιοῦντες παρ' αὐτῶν μαθεῖν ἢ διὰ χρησμῶν ἢ διὰ *συμβούλων* ἢ δι' ὀνείρων τινῶν, ὁπότερα χρὴ μᾶλλον ἡμᾶς ἑλέσθαι τῶν ζητουμένων».

Ὁ ἐκδότης τοῦ βιβλίου τούτου Βρούνσιος δοξάζει ὅτι ἐλέχθη ὑπὸ τοῦ συγγραφέως *συμβουλιῶν*, ὡς ἐν ἑτέρῳ τόπῳ (σελ. 185, 21) «*συμβουλίαι* θεῶν». Ἀλλ' ἡ ὀρθὴ γραφὴ ἀναντιλέκτως εἶνε *συμβόλων*. Ὁ Ἀλέξανδρος εἶπεν «ἢ διὰ χρησμῶν ἢ διὰ *συμβόλων* ἢ δι' ὀνείρων», ὡς ὁ Γαληνὸς Τόμ. ΙϚ', σελ. 222 «εἰσὶ μὲν δή τινες, οἳ καταφρονοῦσι καὶ τῶν ὀνειράτων καὶ τῶν οἰωνῶν καὶ *συμβόλων*» καὶ ὁ Πορφύριος περὶ Ἀποχ. Ἐμψ. Β', 53 «καὶ δι' ὀνειράτων καὶ *συμβόλων* καὶ δι' ὄττης ἀγαθοὶ δαίμονες προτρέποντες».

Περὶ τῆς λέξεως ταύτης γίνεται λόγος ἐν τοῖς εἰς Πίνδαρον Σχολίοις Ὀλυμπ. ΙΒ', 10 (σελ. 263 Βοιχκ.) «*Σύμβολον* ἀρσενικῶς καὶ οὐδετέρως. Φιλόχορος δὲ τὰς ἐκ φήμης μαντείας, τουτέστι κληδόνας καὶ πταρμοὺς ἢ φωνὰς ἢ φήμας ἢ ἀπαντήσεις *σύμβολά* φησι λέγεσθαι, ὡς Ἀρχίλοχος· μετέρχομαί σε σύμβολον ποιεύμενος. Χρήσασθαι δὲ αὐτοῖς πρώτην Δήμητραν» καὶ ἐν τοῖς εἰς Ἀριστοφάνη Πλ. 63 (σελ. 328, 6 Διδ.) «Δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν: τὴν κληδόνα, τὴν μαντείαν καὶ τὸ *σύμβολον*. Οὕτως ὁ Ῥόδιος Ἀπολλώνιος· μηδ' ὄρνις ἀεικελίη πέλε νηΐ. Κοινῶς γὰρ πᾶν *σύμβολον* ἐκφευτικὸν (γρ. *ἐφεκτικὸν*) ἢ προτρεπτικὸν ὄρνιν καλοῦσι» καὶ «οἱ παλαιοὶ πᾶν τὸ ἐπὶ σημείῳ καὶ τεκμηρίῳ τινὶ παραλαμβανόμενον ὄρνιν ἐκάλουν, ἀπὸ μεταφορᾶς καὶ τὸ μάντευμα καὶ τὸ *σύμβολον*» καὶ ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου «*Συμβόλους*: τοὺς διὰ τῶν πταρμῶν οἰωνισμοὺς ἔλεγον· ἀνετίθεντο δὲ οὗτοι Δήμητρι. Τινὲς δὲ τὰς διὰ τῆς φήμης γινομένας μαντείας, ἃς Φιλόχορός φησι Δήμητρα εὑρεῖν. Σοφοκλῆς Ἀχαιῶν Συλλόγῳ» καὶ ἐν τῷ τοῦ Σουΐδα «*Σύμβολον*: οἰώνισμα, σημεῖον, μάντευμα. Λέγεται δὲ καὶ ἀρσενικῶς *ὁ σύμβολος*· ὁ σύμβολος δὲ Μελάμποδος ἢ Πόλλητος ἐδέετο· οὗτοι γὰρ ἦσαν μαντικῶν εἰδήμονες». Πρβ. καὶ Φώτ. Λεξ. σελ. 549, 8. Τὸ ὑπὸ τοῦ Σουΐδα μνημονευόμενον χωρίον, ὃ βλέπομεν καὶ ἐν λ. *Μελάμπους*, φαίνεται ὅτι ἐπλάσθη ἐκ τῶν ὑπὸ τοῦ Μαρίνου εἰρημένων ἐν Βίῳ Πρόκλου Ι' «καὶ τίς ἂν ἐγένετο σύμβολος τούτου σαφέστερος καὶ

οὐδὲ Πόλλητος ἢ Μελάμποδος ἢ τῶν ὁμοίων εἰς κρίσιν δεόμενος;». Τὴν ῥῆσιν ταύτην παρέθετο ὁ Κουστῆρος ἐν τῇ ἐκδόσει τοῦ Σουίδα.

Γράφει δὲ καὶ ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 805, 13 «Δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ θεοῦ, ἤγουν *τὸ μαντικὸν σύμβολον* — ἴσον γὰρ οἰωνὸν τοιοῦτον εἰπεῖν καὶ ὄρνιν καὶ σῆμα καὶ σύμβολον καὶ συμβόλαιον δὲ τετρασυλλάβως. Ὡς δὲ καὶ *οἱ σύμβολοι* ἀρσενικῷ γένει οἱ ἐν συναντήμασιν οἰωνοὶ τοιοῦτοί εἰσιν, εὔδηλόν ἐστι» καὶ σελ. 1351, 45 «Τὸ δὲ φίλτατος οἰωνῶν οὐκ ἐξ ἀνάγκης οἰωνοὺς λέγει *τοὺς μαντικοὺς συμβόλους*, ἀλλ' ἴσως γενικῶς εἴρηται, ἵνα κτέ.» καὶ σελ. 1405, 54 «Ἔτι συμβάλλειν καὶ τὸ συναντᾶν· ὅθεν καὶ *οἱ κατὰ μαντείαν ἐνόδιοι σύμβολοι* καὶ ἀνὴρ ἀξύμβολος παρὰ τῷ Ἀφροδισιεῖ Ἀλεξάνδρῳ οἱονεὶ ὁ δυσοιώνιστος καὶ ἀπαίσιος ἢ καὶ ἄλλως ὁ ἀσυντελὴς ἐκ τοῦ συμβάλλεσθαι τὰ εἰς ὠφέλειαν» καὶ μετ' ὀλίγα «Καὶ νοεῖν δέ ποτε τὸ συμβάλλειν, ἐξ οὗ καὶ *σύμβολα* οὐ μόνον τὰ τεκμηριώδη ἁπλῶς ἀλλὰ καὶ ἰδίως τὰ μαντικά». Ἡμεῖς νομίζομεν ὅτι τὸ τοῦ Ἀφροδισιέως Ἀλεξάνδρου *ἀξύμβολος* συνωνυμεῖ τῷ *ἀνομίλητος* ἢ *ἀπρόσοδος*. Πρβ. *ἀπροσόμιλος*, *ἄμικτος*, *ἀπρόσμικτος*, κτλ. Ἐν τῷ Ὀνομαστικῷ τοῦ Πολυδεύκους κεῖται βιβλ. Ε', 143 «*εὐσύμβολος*, ἀξιοκοινώνητος, *ἀσύμβολος*, *δυσσύμβολος*, ἀκοινώνητος, δυσκοινώνητος» καὶ 138 «δυσπρόσιτος, δυσπρόσοδος, ἄμικτος, δύσμικτος, *δυσσύμβολοι*, δυσέντευκτος» καὶ 139 «δυσπροσίτως, ἀμίκτως, δυσμίκτως, ἀπροσμίκτως, ἀνεπιμίκτως, *ἀσυμβόλως*». Πρβ. καὶ *ἀσύμβλητος*-*δυσύμβλητος*. Ἴδε Εὐστάθ. 1405, 58. Παρασημειωτέον δ' ὅτι ὑγιὴς νῦν νομίζεται ἡ διὰ διφθόγγου ἐκφορὰ *ἄμεικτος*, *δύσμεικτος*, κτλ.

Ἐκ τῶν ῥήσεων, ἃς κατεχωρίσαμεν, διδασκόμεθα ὅτι ἐλέγετο ἐν τῇ Ἑλληνικῇ γλώσσῃ καὶ ἀρσενικῶς *ὁ σύμβολος* καὶ οὐδετέρως *τὸ σύμβολον*.

Τοῦ ἀρσενικοῦ γένους παρέχουσιν ἡμῖν μαρτύρια ὁ Αἰσχύλος, ὁ Ψευδοξενοφῶν, ὁ Ἀριστείδης, ὁ Σιμπλίκιος, ὁ Συνέσιος καὶ ὁ Μαρῖνος, οἷον Αἰσχύλ. Προμ. 487 «*ἐνοδίους τε συμβόλους* γαμψωνύχων τε πτῆσιν οἰωνῶν σκεθρῶς διώρισα». Ψευδοξενοφ. Ἀπολ. Σωκρ. ΙΓ' «οἱ μὲν οἰωνούς τε καὶ φήμας καὶ *συμβόλους* τε καὶ μάντεις ὀνομάζουσι τοὺς προσημαίνοντας εἶναι». Ἀριστείδ. Τόμ. Α', σελ. 501 «καὶ κατὰ φήμας καὶ κατὰ *συμβόλους*». Σιμπλίκ. Ἐξηγ. εἰς Ἐπικτ.

Ἐγχειρ. σελ. 55, 45 Διδ. «ἐὰν ὄρνις ἢ *σύμβολός* τις ἢ μαντεία δόξῃ σοί τινα κακὰ σημαίνειν». Συνέσ. Ἐπιστ. Γ', σελ. 158 γ' «ἵνα μὴ τῷ νυμφίῳ *σύμβολος* ἀπαίσιος γένηται». Μαρῖν. Βί. Πρόκλ. Ι' «τίς ἂν ἐγένετο *σύμβολος* τούτου σαφέστερος;».

Τὸ οὐδέτερον ἀπαντᾷ ἐν τῷ Ἀγαμέμνονι τοῦ Αἰσχύλου στίχ. 144 «τερπνὰ τούτων αἰτεῖ *ξύμβολα* κρᾶναι» καὶ ἐν τῷ περὶ Φύσεως Ἀνθρώπου τοῦ Νεμεσίου σελ. 342 Ματθ. «καὶ τὰ *σύμβολα* δὲ καὶ φῆμαι καὶ διοσημεῖαι (γρ. *διοσημίαι*) κτέ.» καὶ ἐν τῷ Περικλεῖ τοῦ Πλουτάρχου Ϛ', 4 «ἅμα τοῖς θείοις καὶ *τὰ τεχνητὰ τῶν συμβόλων* ἀθετοῦντες» (Πρβ. καὶ Ἠθικ. σελ. 581 α' καὶ σελ. 676 δ') καὶ ἐν τῷ περὶ τοῦ Βίου καὶ τῆς ποιήσεως Ὁμήρου τοῦ Ψευδοπλουτάρχου ΣΙΒ' «τὸ περὶ φήμας καὶ κληδόνας καὶ *σύμβολα*» καὶ μετ' ὀλίγα «καὶ πταρμὸς δὲ παρ' αὐτῷ *σύμβολον* ἀγαθὸν γίνεται» καὶ ἐν τῷ Δευτέρῳ Ταρσικῷ Δίωνος τοῦ Χρυσοστόμου Τόμ. Β', σελ. 35 «ἀχάριστος γενόμενος περὶ τὸ *σύμβολον*». Πρβ. καὶ Σχόλ. εἰς Σοφοκλ. Τόμ. Β', σελ. 147, 34 «μαντείᾳ ἀσυμβόλῳ, τουτέστιν ἀγαθὸν *σύμβολον* δηλούσῃ» καὶ σελ. 148, 6 «οἷον οἱ εὐσύμβολοι καὶ τὰ ἀγαθὰ *σύμβολα* δηλοῦντες».

Ἄδηλον ἐκ τῆς καταλήξεως εἶνε τὸ γένος ἐν τῷ τοῦ Ἀριστοφάνους Ὄρν. 721 «*ξύμβολον* ὄρνιν (καλεῖτε)» καὶ ἐν τῷ τοῦ Ξενοφῶντος Ἀπομν. Α', α', 3 «φήμαις καὶ *συμβόλοις* καὶ θυσίαις» καὶ ἐν τῷ τοῦ Πλουτάρχου Νομ. Ζ', 2 «τὰ παρὰ τῶν θεῶν ἐν οἰωνοῖς ἢ *συμβόλοις* προφαινόμενα» καὶ ἐν τῷ τοῦ αὐτοῦ Νικί. ΙΓ', 6 «οἷς εἰώθει *συμβόλοις* χρησάμενον πρὸς αὐτόν». Πρβ. καὶ Ἀρχίλ. 44 Βεργκ. «*σύμβολον* ποιεύμενος» καὶ Πίνδαρ. Ὀλυμπ. ΙΒ', 7 «*σύμβολον* δ' οὔπω τις ἐπιχθονίων πιστὸν ἀμφὶ πράξιος ἐσσομένας εὗρεν θεόθεν».

Ὁ Σνειδῆρος γράφει ἐν τῇ ἐκδόσει τῶν Ξενοφῶντος Ἀπομνημονευμάτων σελ. 285 Δινδ. «σύμβολα, 1, 1, 3. In simili loco Conv. 4, 49 et Cyrop. 8, 7, 3. σύμβολα omitti animadvertit Weiskius, quo vocabulo ostenta et signa præcipue μετέωρα seu cælestia, veluti fulgura et tonitrua intelligi recte idem annotat. βροντὰς nterpretatur ex h. l. auctor Apologiæ Xenoph. 12».

Ὁ Ξενοφῶν λέγει ἐν τοῖς Ἀπομνημονεύμασι βιβλ. Α', α', 3 «Ὁ δ' οὐδὲν καινότερον εἰσέφερε τῶν ἄλλων, ὅσοι μαντικὴν νομίζοντες

οἰωνοῖς τε χρῶνται καὶ φήμαις καὶ *συμβόλοις* καὶ θυσίαις· οὗτοί τε γὰρ ὑπολαμβάνουσιν οὐ τοὺς ὄρνιθας οὐδὲ *τοὺς ἀπαντῶντας* εἰδέναι τὰ συμφέροντα τοῖς μαντευομένοις ἀλλὰ τοὺς θεοὺς διὰ τούτων αὐτὰ σημαίνειν· κἀκεῖνος δὲ οὕτως ἐνόμιζεν. Ἀλλ' οἱ μὲν πλεῖστοί φασιν ὑπό τε τῶν ὀρνίθων καὶ *τῶν ἀπαντώντων* προτρέπεσθαί τε καὶ ἀποτρέπεσθαι, Σωκράτης δ' ὥσπερ ἐγίγνωσκεν, οὕτως ἔλεγεν». Φανερώτατον δ' ὑπάρχει ὅτι διὰ τῶν συμβόλων δηλοῖ ὁ Ξενοφῶν τὰς ἀπαντήσεις ἢ τὰ συναντήματα. Ὁ Αἰσχύλος ἐν τῷ Προμηθεῖ στίχ. 487 εἶπεν *ἐνοδίους συμβόλους*, οὗ γίνεται ἐξήγησις ἐν τοῖς Σχολίοις σελ. 231, 19 Δινδ. διὰ τοῦ «τὰ κατὰ τὴν ὁδὸν συναντήματα, δι' ὧν δεῖ συμβάλλειν καὶ μαντεύεσθαι». Πρβ. Κραμ. Ἀν. Ὀξ. Τόμ. Δ', σελ. 241, 9 «Ἐνόδιον δὲ ὅταν ἐξηγήσηταί τις τὰ ἐν τῇ ὁδῷ ὑπαντῶντα λέγων· ἐάν σοι ὑπαντήσῃ τοιοῦτος ἄνθρωπος ἢ τόδε βαστάζων ἢ τόδε, συμβήσεταί σοι τόδε».

Καὶ εἰς τὸ τοῦ Ἀριστοφάνους Ὄρν. 721 «ξύμβολον ὄρνιν (καλεῖτε)» φέρεται σχόλιον ἔχον ὧδε· «Καὶ γὰρ ταῦτα συμβόλους ἐποίουν τὰ πρῶτα συναντῶντα καὶ ἐξ ἀπαντήσεώς τι προσημαίνοντα. Ταῦτα δὲ πάντα Δημήτερι ἀνέκειτο, ὥς φησι Φιλόχορος». Ἐν τοῖς Βατράχοις τοῦ Ἀριστοφάνους στίχ. 196 κεῖται «οἴμοι κακοδαίμων, τῷ ξυνέτυχον ἐξιών;», τουτέστι: τίς μοι ἀπήντησεν ἐξιόντι; Πρβ. καὶ Εὔπολ. Ἀποσπ. 309 Κοκκ. «συνέτυχεν ἐξιόντι μοι ἄνθρωπος ἀποφρὰς καὶ βλέπων ἀπιστίαν» (Ἴδε Βλαϋδέσιον ἐν τῇ ἐκδόσει τῶν Βατράχων σελ. 234).

Παρατιθέμεθα καὶ τὰ ὑπὸ τοῦ Βωμειστήρου γεγραμμένα ἐν τῇ ἐκδόσει τῶν Ὁμηρικῶν Ὕμνων σελ. 190 «Σύμβολον primum quidem id est *quod occurrit in via*, vel *quod obviam fit*, ᾧ συμβάλλεταί τις (cf. ζ 54, κ 105); inde autem devenit in significationem *ominis* (pariter ac Latinorum *portentum* ac veterum Germanorum *anegang*), quæ notio invenitur apud Aesch. Ag. 136. Ar. Av. 721 ξύμβολον ὄρνιν scil. καλεῖτε».

Τὸ ἀρσενικὸν *ξύμβολος*, οὗ μαρτύρια κατελέξαμεν ἐν τοῖς ἄνω, εὕρομεν καὶ παρὰ τῷ Προκοπίῳ ἱστοροῦντι θαῦμά τι ἐν Τόμ. Β', σελ. 427, 15. Λέγει δ' ὁ Προκόπιος τάδε· «Ἐς Βυζάντιον δὲ ἀφικόμενος διατριβὴν τὸ λοιπὸν ἐνταῦθα εἶχε πλούτου μὲν ἐξουσίαν περιβεβλημένος πολλήν, εὐτυχήμασι δὲ τοῖς ἔμπροσθεν αὐτῷ ξυμβεβη-

χόσιν ἀπόβλεπτος ὤν, ἅπερ οἱ πρότερον ἢ ἐς Λιβύην ἐστράτευσε *ξυμβόλῳ* προύλεγέ τινι οὐκ ἀφανεῖ τὸ δαιμόνιον. Ὁ δὲ *ξύμβολος* ἐγένετο ὧδε. Ἦν τις Βελισαρίῳ κλῆρος ἐν Βυζαντίων τῷ προαστείῳ (προαστίῳ), ὃ δὴ Παντείχιον μὲν ὀνομάζεται, κεῖται δὲ ἐν τῇ ἀντιπέρας ἠπείρῳ. Ἐνταῦθα ὀλίγῳ ἔμπροσθεν ἢ ἔμελλε Βελισάριος ἐπί τε Γελίμερα καὶ Λιβύην ἐξηγήσεσθαι τῷ Ῥωμαίων στρατῷ ἐνδελεχέστατα πλήθειν οἱ τὰς ἀμπέλους ξυνέβη· οἴνου τε, ὃς ἐνθένδε γεγονὼς ἔτυχε, πίθων οἱ θεράποντες ἐμπλησάμενοι μέγα τι χρῆμα, καὶ αὐτῶν τὰ μὲν ἔνερθεν κατορύξαντες, τὰ δὲ ὕπερθεν πηλῷ ἐς τὸ ἀκριβὲς ἐπιβύσαντες ἐν τῷ οἰνῶνι κατέθεντο. Μησὶ δὲ ὀκτὼ ὕστερον ἐν πίθοις τισὶν ἀναβράζων ὁ οἶνος διεσπάσατο μὲν τὸν πηλὸν ᾧπερ ἐπέφρακτο αὐτῶν ἕκαστος, ὑπερβλύσας δὲ καὶ ῥεύσας πολὺς ἐς τοσόνδε γῆν τὴν ἐχομένην ἐπέκλυσεν, ὥστε καὶ τέλμα ἐν τούτῳ τῷ ἐδάφει ἐργάσασθαι μέγα· ὅπερ ἐπεὶ οἱ θεράποντες εἶδον, ἐν θάμβει μεγάλῳ γενόμενοι πολλοὺς μὲν ἐνθένδε ἀμφορέας ἐμπλήσασθαι ἔσχον, αὖθις δὲ τούτους δὴ τοὺς πίθους τῷ πηλῷ ἀποφράξαντες τὰ παρόντα ἐν σιωπῇ εἶχον. Ἐπεὶ δὲ τοῦτο πολλάκις ὑπὸ τὸν αὐτὸν χρόνον γεγονὸς εἶδον, αὐτοὶ μὲν ἐπὶ τὸν κεκτημένον τὸ πρᾶγμα ἦγον, ὁ δὲ τῶν ἐπιτηδείων πολλοὺς ἐνταῦθα ἀγείρας ὑπέδειξε τὰ ποιούμενα· οἵπερ *τῷ ξυμβόλῳ* τεκμηριούμενοι ταύτῃ τῇ οἰκίᾳ μεγάλα προύλεγον ἀγαθὰ ἔσεσθαι». Ἐν τῷ παραδόξῳ τούτῳ καὶ οὐδεμιᾶς πίστεως ἀξίῳ λόγῳ τοῦ Προκοπίου βλέπομεν τὸ ὄνομα *σύμβολος* παραπλησίαν ἔννοιαν τῷ *σημεῖον* ἢ *τέρας* ἐμφαῖνον.

Ἐν τῷ παρηκμακότι ἑλληνισμῷ ἐσχηματίσθη καὶ ἐπίθετον *εὐσύμβολος* ἰσοδυναμοῦν τῷ *αἴσιος* καὶ ἐπίρρημα ἐκ τοῦ ἐπιθέτου τούτου *εὐσυμβόλως*, οὗ ποιεῖται χρῆσιν ὁ Σέρβιος ἐν τοῖς εἰς Βεργιλίου Αἰνειάδα Ὑπομνήμασι βιβλ. Η', 102 «*εὐσυμβόλως*, id est bono omine» καὶ 513 (Ἴδε Θησ. Στεφ. λ. *εὐσύμβολος* καὶ λ. *εὐσυμβόλως*. Πρβ. καὶ ἃ ἐγράψαμεν ἐν σελ. 525). Ἐλέχθη δὲ καὶ *συμβολομαντεία*· ἔτι δὲ *συμβολόμαντις* ὑπ' Ἄννης τῆς Κομνηνῆς Τόμ. Β', σελ. 30, 12 Βόνν. «Προηγήσατο δὲ τῆς τῶν τοσούτων λαῶν ἐλεύσεως ἀκρὶς τῶν μὲν πυρῶν ἀπεχομένη, τοὺς δὲ ἀμπελῶνας δειν[ῶς] κατεσθίουσα. Ἦν δ' ἄρα τοῦτο σύμβολον, ὡς οἱ τότε *συμβολομάντεις* ἀπεμαντεύοντο, ὡς ἡ ἔφοδος κτέ.». Πρβ. σελ. 31, 3 «ὁ μέντοι σῖτος εἰς τὸν χριστιανισμὸν τοῖς *συμβολικοῖς* τούτοις ἐξελαμβάνετο».

Σημειωτέον δ' ὅτι ὑπ' ἄλλων μὲν οὐσιαστικὸν νομίζεται τὸ ὄνομα *σύμβολος*, ὑπ' ἄλλων δ' ἐπίθετον, προσυπακουομένου τοῦ *οἰωνός* ἢ *ἄνθρωπος*. Εἰκάζει δ' ὁ Βλαϋδέσιος *συμβολὰς* ἀντὶ τοῦ παρὰ Ψευδοξενοφῶντι καὶ παρ' Αἰσχύλῳ *συμβόλους* ἐν τῇ ἐκδόσει τῶν Ἀριστοφάνους Ὀρνίθων σελ. 297 καὶ 298 καὶ ἐν τῇ τῶν Βατράχων σελ. 234. Οὐδαμῶς ἐπαινετὴ φαίνεται ἡμῖν ἡ εἰκασία αὕτη.

Παρατηροῦμεν δ' ἐν παρόδῳ ὅτι ὁ Βλαϋδέσιος ἐν τῇ ἐκδόσει τῶν Ὀρνίθων σημειοῦται περὶ τοῦ «*θεράποντ'* ὄρνιν (καλεῖτε)» σελ. 298 «*Occurrentem* famulum intellige». Ἐν τοῖς Σχολίοις φέρεται σελ. 226, 27 «Θεράποντ' ὄρνιν: ἐπεὶ πολλάκις εἰώθαμέν τινας τῶν θεραπόντων καλόποδας λέγειν καὶ καλοιωνίστους». Ἀναγκαίως ἔχει νὰ νοήσωμεν θεράποντα τὸ πρῶτον εἰς τὴν οἰκίαν τοῦ δεσπότου εἰσερχόμενον καὶ αἴτιον αὐτῇ κατὰ τὴν παρὰ τοῖς δεισιδαίμοσι κρατοῦσαν δόξαν εὐτυχίας ἢ δυστυχίας καθιστάμενον. Διὰ τοῦτο δ' ἐγίνετο τῶν καταχυσμάτων χρῆσις ἐπὶ τῶν νεωτήτων δούλων, ἵν' εὐδαιμονία καὶ μακαριότης τῇ εἰσόδῳ αὐτῶν παρομαρτήσῃ. Πρβ. Σουΐδ. «*Καταχύσματα*: ἔθος ἦν παρ' Ἀθηναίοις τῶν νεωνήτων δούλων τῶν πρῶτον εἰσιόντων εἰς τὴν οἰκίαν ἢ ἁπλῶς τῶν ἐφ' ὧν οἰωνίσασθαί τι ἀγαθὸν ἐβούλοντο καὶ τοῦ νυμφίου παρὰ τὴν ἑστίαν τραγήματα καταχέειν εἰς σημεῖον εὐετηρίας» (Ἴδε Βλαϋδέσιον εἰς *Ἀριστοφ. Πλοῦτ.* σελ. 295).

Ὡς δὲ παρ' Ἀλεξάνδρῳ τῷ Ἀφροδισιεῖ κακῶς ἀναγνωσθὲν τὸ *συμβόλων* ἐγένετο *συμβούλων*, οὕτω παρὰ τῷ Φωτίῳ μετέπεσε τὸ *συμβόλους* εἰς τὸ *συμβούλους* Λεξ. σελ. 549, 10 «*Συμβούλους*: τοὺς οἰωνοὺς Ἀττικοὶ λέγουσιν». Ὀρθῶς ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου εἶνε γεγραμμένον «*Σύμβολος*: οἰωνός».

Τὸ τοῦ Λιβανίου Τόμ. Δ', σελ. 120 «ἐζήτουν δὲ περὶ τούτων οὐ *συμβόλοις*, οὐ φήμαις» προηνέχθη ἔν τινι τῶν κωδίκων, καθὰ σημειοῦται ὁ Ῥείσκιος, διὰ διφθόγγου, *συμβούλοις*. Καὶ παρὰ τῷ Φιλοστράτῳ δὲ σελ. 660 πρὸς τῇ ὀρθῶς ἐχούσῃ γραφῇ «*ξυμβόλου* καὶ φήμης, ἀμπελουργέ, δέομαι περὶ εὐπλοίας» φέρεται καὶ ἡ ἡμαρτημένη *ξυμβούλου* (Ἴδε Βοισσονάδην εἰς *Φιλοστρ. Ἡρωϊκ.* σελ. 280-1. Πρβ. καὶ σελ. 336 καὶ 560).

Ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις Ψ, 199 ἀπαντᾷ «ὡς Ἀρχίλοχος· μετέρχομαι ἐς σύμβουλον ποιεύμενος». Τὸ δ' ἀληθὲς εἶνε «μετέρχο-

μαί σε *σύμβΟλον* ποιεύμενος ». Πρβ. καὶ Κρευζῆρον ἐν τῇ ἐκδόσει τῶν Ὀλυμπιοδώρου Σχολίων εἰς τὸν Πλάτωνος Α' Ἀλκιβιάδην σελ. 151. Ἴδε δὲ καὶ Λουδούϊχον ἐν *Arist. Hom. Textkr.* Τόμ. Α', σελ. 359 σημ.

Πολλάκις μετεβλήθη ὑπὸ τῶν βιβλιογράφων τὸ ΒΟΛ εἰς ΒΟΥΛ, οἷον *βολή-βουλή*, *ἐπιβολή-ἐπιβουλή*, *συμβολή-συμβουλή*, κτλ.

Ἐν τῷ κώδικι τοῦ Ἡσυχίου κεῖται « Ῥιπῆς: ὁρμῆς, *βουλῆς*, ῥοπῆς » ἀντὶ τοῦ *βολῆς*. Ἴδε καὶ Βοισσονάδην εἰς *Φιλοστρ. Ἡρωϊκ.* σελ. 547 καὶ Κρευζῆρον εἰς *Πλωτῖν.* Τόμ. Γ', σελ. 359.

Ὀρθῶς μὲν ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ σελ. 286, 56 εἶνε γεγραμμένον « Δραστήρ: ὁ νοητικὸς κατ' *ἐπιβολὴν* », ἐσφαλμένως δ' ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου « Δράστης: πράττειν δυνάμενος ἢ νοηματικὸς κατ' *ἐπιβουλὴν* ». Ἀνεγνώσθη δὲ καὶ ἐν ταῖς Ἐκλογαῖς τοῦ Στοβαίου ὑπὸ τῶν μεταγραφέων « χωρὶς τῆς ἐπ' ἄλλο τι ἀπάσης *ἐπιβουλῆς* » ἀντὶ τοῦ *ἐπιβολῆς* καὶ « μήτε παρὰ τὴν ὁρμὴν μήτε παρὰ τὴν *ἐπιβουλὴν* γίνεσθαί τι » ἀντὶ τοῦ *ἐπιβολὴν* (Τόμ. Β', σελ. 46, 22 καὶ σελ. 115, 6 Οὐαξμ.) καὶ ἐν τῇ Ἰουδαϊκῇ Ἀρχαιολογίᾳ τοῦ Ἰωσήπου « διὰ τὸ δυσχερὲς τῆς *ἐπιβουλῆς* » ἀντὶ τοῦ *ἐπιβολῆς* (Τόμ. Β', σελ. 121, 15 Νισ. Πρβ. καὶ σελ. 51, 22 καὶ σελ. 222, 11 καὶ σελ. 334, 5). Ἐν τοῖς Ἑλληνικοῖς τοῦ Ξενοφῶντος βιβλ. Α', ζ', 2 ἔχουσι τἀντίγραφα τήν τ' ὀρθὴν γραφὴν « *ἐπιβολὴν* ἐπιβαλών » καὶ τὴν πλημμελῆ *ἐπιβουλήν*. Διττὴν γραφὴν βλέπει τις καὶ παρὰ τῷ Πολυβίῳ βιβλ. Α', γ', 6 « πρὸς τὴν τοῦ ὅλου *ἐπιβολὴν* » καὶ *ἐπιβουλήν*. Πρβ. καὶ Α', μγ', 4 καὶ Β', λϐ', 5. Ἴδε καὶ Οὐεσσελίγγιον εἰς *Διόδ. Σικελ.* Τόμ. Α', σελ. 444 καὶ Ἄλβερτον εἰς *Ἡσύχ.* Τόμ. Α', σελ. 1343 καὶ Ταύλωρον εἰς *Λυσ.* σελ. 219 Ῥεισκ. (*Ῥητ. Ἀττ.* Δόψ. Τόμ. Β', σελ. 271-2) καὶ Βοισσονάδην εἰς *Ἀρισταίν.* σελ. 539. Ἔτι δὲ Πόλακον ἐν *Observat. ad Schol. in Hom. Odyss.* σελ. 100 καὶ ἐν *Cur. Sec. ad Odyss. eiusque Schol.* σελ. 494 καὶ Ἑρουερδῆνα ἐν *Herm.* 1888, σελ. 554. Σημειωτέον δ' ὅτι τὸ ἐν ταῖς Ἐκλογαῖς τοῦ Στοβαίου « τῆς ἐπ' ἄλλο τι *ἀπάσης* κτέ. » ἔτρεψεν ὁ Μαδβίγιος εἰς τὸ *ἀγούσης*, ὃ καὶ ὁ Μουλλάχιος ἐνέκρινεν (ἐν *Φιλοσ. Ἑλλ. Ἀποσπ.* Τόμ. Β', σελ. 103).

Ἐν τῷ κώδικι τοῦ Ἡσυχίου φέρεται « Πολέμοιο γεφύρας: τὰς

συμβουλὰς καὶ συζεύξεις» ἀντὶ τοῦ *συμβολάς*. Παρὰ δὲ τῷ Ἡροδότῳ βιβλ. ϛ', 109 ἔκειτο ἄλλοτε «τῶν ἀποσπευδόντων τὴν *συμβουλήν*», ἀνθ' οὗ πρὸ πολλοῦ ἀποκατέστησαν οἱ ἐκδόται ἐξ ἀντιγράφων τὸ ὑγιῶς ἔχον *συμβολήν* (Ἴδε Βαίριον εἰς *Ἡρόδ*. Τόμ. Γ', σελ. 383 ἐκδ. β'). Ἐγράφη δὲ καὶ παρὰ τῷ Κιννάμῳ ἡμαρτημένως «καὶ δὴ *συμβουλῆς* γενομένης» ἀντὶ τοῦ *συμβολῆς* (σελ. 105, 4) καὶ παρὰ Μιχαὴλ τῷ Ψελλῷ «εἰδόν τε ἀλλήλους καὶ ἐν *συμβουλαῖς* εὐθὺς ἐγεγόνεισαν» ἀντὶ τοῦ *συμβολαῖς* (Μεσαιων. Βιβλιοθ. Σάθ. Τόμ. Δ', σελ. 7) καὶ παρὰ τῷ Πρόκλῳ «*συμβουλή* τε καὶ σύγκρισις» ἀντὶ τοῦ *συμβολή* (Τόμ. ϛ', σελ. 280 Κουσ.) καὶ παρὰ τῷ Λιβανίῳ «ἵνα μηδ' ἀπὸ χειρός τινα πορίσωμαι πρὸς ἐλευθερίαν *συμβουλήν*», περὶ οὗ λέγει ὁ Κόβητος ἐν *Collet. Crit.* σελ. 291 «Haud vidi magis: συμβουλὴ ἀπὸ χειρός! At tu lege συμβΟλήν ac memento -βολή sæpissime sic in -βουλή depravari». Πρβ. καὶ Πόλακον ἐν *Cur. Sec. ad Odyss. eiusque Schol.* σελ. 494. Γελοῖον εἶνε τὸ ὑπὸ τοῦ Εὐσταθίου γεγραμμένον σελ. 1667, 32 «διὸ καὶ *ξυμβουλὴ* τὸ τοιοῦτον ἔργον, ὡς ἄν τις εἴποι *συμβολή*, ὃ ταὐτὸν ἦν τῷ ξύνεσις».

Καὶ τὸ *ἐπήβολος* ὑπὸ κακῆς ἀναγνώσεως μετεμορφώθη παρ' Εὐσταθίῳ σελ. 1424, 18 εἰς τὸ *ἐπήβουλος*, ὅπερ ἀνελλήνιστον. Εὑρίσκονται δὲ καὶ ἄλλαι λέξεις κατὰ τὸν αὐτὸν τρόπον ἐν τοῖς ἀντιγράφοις ἡμαρτημέναι, οἷον

ἀσύμβουλοι ἀντὶ τοῦ *ἀσύμβολοι* (Πολυδεύκ. σελ. 34 Βεκκ.).

εὐσύμβουλος ἀντὶ τοῦ *εὐσύμβολος* (Ἐτυμολ. Μέγ. σελ. 398, 27).

δυσξύμβουλος ἀντὶ τοῦ *δυσξύμβολος* (Κεδρην. Τόμ. Β', σελ. 58, 9. Πρβ. καὶ Βοισσονάδην εἰς *Ἀρισταίν*. σελ. 605).

εὐβουλότατος-τάτου ἀντὶ τοῦ *εὐβολώτατος-τάτου* (Σουΐδ. λ. *Μίδας*. Ἴδε Τούπιον ἐν *Διορθ*. Τόμ. Α', σελ. 406 καὶ Βερνάρδυν εἰς *Σουΐδ*. Τόμ. Β', α', σελ. 846. Πρβ. καὶ Βοισσονάδην εἰς *Ἀρισταίν*. σελ. 538).

Ναυβούλου ἀντὶ τοῦ *Ναυβόλου* (Σχολ. Λυκόφρ. σελ. 167, 11 Κιγκελ.).

παραβουλευσάμενος ἀντὶ τοῦ *παραβολευσάμενος* (Θεοδώρητ. Τόμ. Γ', σελ. 460. Ἴδε καὶ Ψευδοκαλλισθ. Διδ. σελ. 99 σημ. Πρβ. Κόβητον ἐν τῇ ἐκδόσει τῆς Καινῆς Διαθήκης σελ. κγ').

συμβουλήσαντες ἀντὶ τοῦ *συμβολήσαντες* (Ἀππιαν. σελ. 988, 26 Μενδ. Πρβ. καὶ Θησαυρ. Στεφ. λ. *συμβολοκοπέω*).

Ὀρθῶς ὁ Ἰακώψιος ἀνέγνω *εὐθυβολοῖεν* ἀντὶ τοῦ *εὐθύβουλοι εἶεν* (ἢ *εὐθύβουλοι εἶναι*) ἐν ταῖς Ἐκλογαῖς τοῦ Στοβαίου Τόμ. Α', σελ. 89 Οὐαξμ. Παρὰ τῷ Ξενοφῶντι Λακεδ. Πολ. Β', 5 ἀπαντᾷ «σῖτόν γε μὴν ἔταξε τοσοῦτον ἔχοντα *συμβουλεύειν* τὸν εἴρενα», ἀνθ' οὗ ὁ Πόρτος εἴκασε *συμβολεύειν* (Ἴδε Δινδόρφιον ἐν τῇ ἐκδόσει Μικρῶν Συγγραμμάτων τοῦ Ξενοφῶντος σελ. 6. Πρβ. καὶ Θησ. Στεφ. λ. *συμβολατεύω*).

Ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου κεῖται *συμβουλεύς* ἀντὶ τοῦ *συμβολεύς* καὶ *προάμβουλα* ἀντὶ τοῦ *προαμβολαί*. «*Συμβουλεύς*: ἁλιευτικὸν σκεῦος, περὶ ὃ τὰ λίνα πλέκουσιν» καὶ «Προαύλια: — ὥσπερ *προάμβουλα* τὰ προκιθαρίσματα». Εἶνε δὲ παρ' αὐτῷ γεγραμμένον καὶ «Ἐπὶ τὰ *Μανδραβούλου*: παροιμία ἐπὶ τῶν ἀεὶ ἐπὶ τὸ χεῖρον τρεπομένων, ἀπὸ *Μανδραβούλου* τινός». Ὁ Μεινέκιος ἀποφαίνεται ἐν τῇ ἐκδόσει τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Ε', σελ. 44 ὅτι ἡ ἀληθὴς ἐκφορὰ τοῦ ὀνόματος τούτου εἶνε *Μανδρόβολος* (Ἴδε καὶ Κόκκιον ἐν τῇ ἐκδόσει τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Α', σελ. 615). Παρὰ Νικηφόρῳ τῷ Γρηγορᾷ εὕρομεν Τόμ. Β', σελ. 622, 23 «ὡς γὰρ ἐπὶ *Μανδραβόλου* τὰ ἐκείνου διηνεκῶς ἐχώρει» καὶ Τόμ. Γ', σελ. 323, 2 «τοὐναντίον ἐπὶ *Μανδραβόλου* — χωρεῖ σοὶ τὸ σπούδασμα» (Πρβ. καὶ Ζωναρ. Ἐπιτ. Ἱστορ. Τόμ. Δ', σελ. 112, 12 Τευβν.). Ὑπάρχει δὲ καὶ κύριον ὄνομα *Ἀνδρόβολος* ἀπαντῶν ἐν τῇ Διττεμβεργηρείῳ Συλλογῇ Ἑλληνικῶν Ἐπιγραφῶν 142, 3 καὶ 321, 16 καὶ 446, 13.

Περὶ τοῦ *παλίμβουλος* ἀντὶ τοῦ *παλίμβολος* καὶ τοῦ *μεγαλεπίβουλος* ἀντὶ τοῦ *μεγαλεπήβολος* θὰ γράψωμεν ἑτέρωθι.

Γ'.

Προῦμνα - πρῖνα.
Ἄκυλος - μιμαίκυλος.

Παρὰ τῷ Γαληνῷ φέρεται Τόμ. ϛ', σελ. 619 «Ἐκ τούτων τῶν φυτῶν ἐστι καὶ φηγὸς καὶ δρῦς καὶ πρῖνος καὶ

κρανία καὶ κόμαρος ἕτερά τε δένδρα τοιαῦτα, καθάπερ γε καὶ θάμνοι τινές, οἷον ὅ τε τῆς βάτου καὶ τῆς κυνοσβάτου καὶ ὁ τῆς ἀχέρδου τε καὶ ἀχράδος ὅ τε τῶν ἀγριοκκυμήλων, ἃ προῦμνα παρ' ἡμῖν καλοῦσι, καὶ ὁ τοῦ τὰς ἐπιμηλίδας φέροντος — Τὰ μὲν οὖν κράνα καὶ τὰ βάτινα καὶ τὰς βαλάνους καὶ τὰ μιμαίκυλα· καλεῖται δὲ οὕτως ὁ τοῦ κομάρου καρπός· ἐσθίουσι συνήθως οἱ κατὰ τοὺς ἀγρούς, τοὺς δὲ τῶν ἄλλων δένδρων τε καὶ θάμνων οὐ πάνυ τι» καὶ σελ. 621 «Πολλοῖς γὰρ τῶν σιτηρῶν ἐδεσμάτων ὁμοίως τρέφουσιν αἱ βάλανοι· καὶ τό γε παλαιόν, ὥς φασιν, ἀπὸ τούτων μόνον διέζων οἱ ἄνθρωποι, Ἀρκάδες δὲ καὶ μέχρι πολλοῦ χρόνου, τῶν ἄλλων ἁπάντων Ἑλλήνων τοῖς Δημητρίοις καρποῖς χρωμένων. Ἔστι δὲ βραδυπόρος ἡ ἀπ' αὐτῶν τροφὴ καὶ παχύχυμος, οἷς ἀκόλουθόν ἐστι καὶ δύσπεπτον ὑπάρχειν αὐτήν. Εἰς ἅπαντα δὲ χείρων ἐστὶν ἡ μιμαίκυλος τῆς ἀπὸ τῶν δρυῶν βαλάνου, καθάπερ αὕτη τῆς τῶν καστανῶν ὀνομαζομένων· ἄρισται γὰρ ἐκεῖναι τῶν βαλάνων εἰσίν, ἔνιοι δὲ λοπίμους αὐτὰς ὀνομάζουσιν. Οὗτοι καὶ μόνοι τῶν ἀγρίων καρπῶν ἀξιόλογον τροφὴν διδόασι τῷ σώματι· κράνια γὰρ καὶ πρῖνα καὶ βάτινα καὶ κυνόσβατα καὶ βράβυλα καὶ μιμαίκυλα καὶ ζίζυφα καὶ διόσπυρα καὶ ἁλικάκκαβα καὶ ὁ τῆς τερμίνθου καὶ ὁ τῆς ἀχέρδου καρπός, ὅσα τ' ἄλλα τοιαῦτα, βραχὺ μέν τι τρόφιμον ἔχει, κακόχυμα δὲ πάντ' ἐστί, καί τινά γ' αὐτῶν καὶ κακοστόμαχα καὶ ἀηδῆ, συῶν ὄντα βρώματα καὶ τούτων οὐχ ἡμέρων, ἀλλ' ἐν τοῖς ὄρεσι διαιτωμένων· ἀπ' αὐτῶν οὖν (γρ. ἴσ. γοῦν) ἐκεῖνοι πλείστην ἔχουσι τροφήν».

Ὁ Λοβέκκιος ἀποφαίνεται ἐν τοῖς Προλεγομένοις (σελ. 77) ὅτι ὁ καρπὸς τῆς πρίνου ἢ τοῦ πρίνου ἐκαλεῖτο *πρῖνα* (*τὰ πρῖνα*), εἰς πίστωσιν δὲ τῆς αὐτοῦ γνώμης μνημονεύει τὸ χωρίον τοῦ Γαληνοῦ, ὃ βλέπει τις ἐν τοῖς ἄνω. Ἀλλ' οὐδαμῶς ἡμεῖς πειθόμεθα ὅτι ἐλέχθη ποτὲ ἐν τῇ Ἑλληνικῇ γλώσσῃ *πρῖνα* πρὸς δήλωσιν τῶν τῆς πρίνου βαλάνων.

Ὁ Γ. Δινδόρφιος ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Ϛ', σελ. 1604-5 ὑπολαμβάνει ὅτι εἶπεν ὁ Γαληνὸς *πρίνινα*, ὄνομα ὁμοίως ἐσχηματισμένον τῷ *βάτινον*, ὅπερ ἐσήμαινε τὸν καρπὸν τῶν βάτων, ὡς μαρτυρεῖ ὁ Γαληνὸς ἐν Τόμ. Ϛ', σελ. 589. Πρβ. καὶ Λεξ. Πασσοβ. λ. *πρῖνον* (Τόμ. Β', σελ. 1076). Λίαν ἀπίθανον ἡμῖν φαίνεται ὅτι ἐκλήθησαν *πρίνινα* ὑφ' Ἕλληνος αἱ πρίνιναι βάλανοι.

Ὁ Γαληνὸς ἔγραψεν ἀναντιλέκτως «κράνια γὰρ καὶ *προῦμνα* καὶ βάτινα καὶ κυνόσβατα καὶ βράβυλα κτέ.», ὡς ἐν σελ. 619 «καθάπερ γε καὶ θάμνοι τινές, οἷον ὅ τε τῆς βάτου καὶ τῆς κυνοσβάτου καὶ ὁ τῆς ἀχέρδου τε καὶ ἀχράδος ὅ τε τῶν ἀγριοκοκκυμήλων, ἃ *προῦμνα* παρ' ἡμῖν καλοῦσι, καὶ ὁ τοῦ τὰς ἐπιμηλίδας φέροντος» καὶ ἐν Τόμ. ΙΒ', σελ. 921 «πλείστου μὲν γὰρ ὅ τε τῶν καρύων δεῖται καὶ μετ' αὐτὸν ὁ τῶν βατίνων τε καὶ συκαμίνων, ὀλίγου δὲ ὅ τε τῶν μήλων καὶ τῶν ῥοιῶν καὶ ἀχράδων, ἐν τῷ μεταξὺ δὲ αὐτῶν ὁ μεσπίλων καὶ ὁ ἀπὸ κρανίων δὲ καὶ βραβύλων καὶ τῶν καλουμένων παρ' ἡμῖν *προύμνων*» καὶ ἐν Τόμ. ΙΓ', σελ. 289 «*προύμνων* ἀγρίων ξέσται δύο». Πρβ. καὶ Ὀρειβάσ. Τόμ. Α', σελ. 211, 2 «κράνα, *προῦμνα*, βάτινα, μιμαίκυλα, ζίζυφα, διόσπυρα, ἁλικάκκαβα» καὶ σελ. 245, 7 «μύρτα, ἄγρια κοκκύμηλα, ἃ *προῦμνα* καλοῦσιν». Ἴδε καὶ Γλωσσάρ. Δουκαγγ. σελ. 1259 καὶ Θησ. Στεφ. Τόμ. Ϛ', σελ. 2078.

Ὡς δὲ παρὰ τῷ Γαληνῷ τὸ *προῦμνα* κακῶς ἀναγνωσθὲν μετέπεσεν εἰς τὸ *πρῖνα*, οὕτω παρ' Ἀλεξάνδρῳ τῷ Τραλλιανῷ τὸ *προύμνων* εἰς τὸ *πρίνων* ἐν Τόμ. Β', σελ. 139 «τῷ χυλῷ τοῦ ὄμφακος καὶ καρύων λεμμάτων καὶ κράνων καὶ *πρίνων* καὶ οὔων». Καὶ ἐν σελ. 131 τῶν ἀντιγράφων τινὰ ἀντὶ τοῦ ὀρθοῦ «ἀχράδων καὶ μεσπίλων καὶ βραβύλων καὶ κρανίων καὶ *προύμνων*» ἔχουσι τὸ ἐσφαλμένον *πρίνων*. Τριττὴν δὲ γραφὴν βλέπομεν ἐν σελ. 431 «*προύμνων* ἀγρίων» καὶ *πρέμνων* καὶ *πρίμνων*.

Ἐκαλεῖτο δὲ *προῦμνον* καὶ τὸ φυτόν, ὡς μαρτυρεῖ ὁ Γαληνὸς Τόμ. ΙΒ', σελ. 33 «ὁ δὲ τῶν ἀγρίων καρπὸς στυπτικὸς ἐναργῶς ἐστι καὶ σταλτικὸς γαστρός· ὀνομάζεται δὲ τὸ φυτὸν τοῦτο κατὰ τὴν Ἀσίαν *προῦμνον*». Ἀλλὰ παρὰ τῷ Θεοφράστῳ περὶ Φυτ. Ἱστορ Θ', α', 2 ἀπαντᾷ «ἀμυγδαλῆς, κεράσου, *προύμνης*, ἀρκεύθου κ Ἀποκατέστησε δὲ τὴν γραφὴν ταύτην ὁ Σνειδῆρος ἀντὶ τῆς πρότερον φερομένης *προύνης* (Ἴδε Σνειδῆρον εἰς *Θεόφρ*. Τόμ. Γ', σελ. 70

καὶ Τόμ. Ε', σελ. 418). Ὁ Κοραῆς ἀποφαίνεται ἐν *Ὑλ. Γαλλογραικ. Λεξ.* σελ. 285 «Εἰς τὸν Θεόφραστον γράφεται *Προύνη*· ἴσως *Προυνῆ*, καθὼς Συκέα, Συκῆ».

Ὁ Κασαύβων γράφει ἐν ταῖς εἰς Ἀθήναιον Παρατηρήσεσι σελ. 102 «Fructus coccymeleæ testibus Aëtio et Aegineta προῦμνον in Asia vulgo appellabatur, quanquam Galenus l. II. de vi alim. προῦμνα ait dicta suo tempore fructus τῶν ἀγριοκοκκυμήλων. Utut sit, ab Asiatica voce originem habet Latinorum prunus. προύνη tamen etiam Theophrasto arboris nomen». Λέγει δὲ καὶ ὁ Σνειδῆρος ἐν τῇ ἐκδόσει τοῦ Θεοφράστου Τόμ. Ε', σελ. 418 «Galenus de Simplic. med. libro 7. prunum agrestem in Asia προῦμνον vocari refert, quod nomen frequentarunt Paulus Aegineta, Aëtius et Alexander Trallianus pariter ac Romani». Πρβ. Κοραῆν ἐν *Ἀτάκτ.* Τόμ. Α', σελ. 190 «Δαμάσκηνα· ἢ μᾶλλον Δαμασκηνά. Οὕτως ὠνομάσθησαν ἀπὸ τὴν Δαμασκὸν ὅθεν μετεφέρθησαν εἰς τὴν Ἑλλάδα. Syria (λέγει ὁ Πλίνιος, XIII, 5) peculiares habet arbores . . . Pruna in Damasco monte nata, et Myxa. Τὸ Pruna (pruneaux) εἶναι ἀπὸ τὸ Ἑλληνικὸν *Προῦμνον* ἢ *Προῦνον*· τὰ ὠνόμαζαν καὶ *Κοκκύμηλα*» καὶ Τόμ. Δ', σελ. 594 καὶ ἐν *Ὑλ. Γαλλογραικ. Λεξ.* σελ. 285 «Prune, Προῦμνον, Προῦνον Δ. Ὁ Γαληνὸς τὸ ὀνομάζει *Προῦμνον*· Ἀλέξανδρος ὁ Τραλλιανός, *Προῦνον*· Σήμερον δέ, *Δαμάσκηνον*». Ἴδε καὶ Φρίσχιον εἰς *Θεόκρ.* Τόμ. Α', σελ. 250-1 καὶ Ἔννιον ἐν *Kulturpfl. und Hausth.* σελ. 330 ἐκδ. β'.

Ὀρθῶς εἶνε γεγραμμένον «τὰ μὲν οὖν κράνα καὶ τὰ βάτινα καὶ τὰς βαλάνους καὶ τὰ *μιμαίκυλα*· καλεῖται δὲ οὕτως ὁ τοῦ κομάρου καρπός» καὶ «κράνια γὰρ καὶ πρῖνα (προῦμνα) καὶ βάτινα καὶ κυνόσβατα καὶ βράβυλα καὶ *μιμαίκυλα* καὶ ζίζυφα κέξ.», κακῶς δὲ «εἰς ἅπαντα δὲ χείρων ἐστὶν ἡ *μιμαίκυλος* τῆς ἀπὸ τῶν δρυῶν βαλάνου, καθάπερ αὕτη τῆς τῶν καστανῶν ὀνομαζομένων». Πρῶτον μὲν δυσπαράδεκτον φαίνεται ὅτι παρελήφθη ὑπὸ τοῦ Γαληνοῦ τὸ θηλυκὸν ἡ *μιμαίκυλος* πρὸς δήλωσιν τοῦ καρποῦ τῆς κομάρου. Ἔπειτα δ' ἡ λέξις *μιμαίκυλος* φέρεται ἐν τῷ περὶ βαλάνων λόγῳ τοῦ Γαληνοῦ καὶ σημαίνεται δι' αὐτῆς βάλανος χείρων εἰς ἅπαντα τῆς βαλάνου τῆς

δρυὸς οὖσα. Ἀλλὰ τὸ *μιμαίκυλον* δὲν εἶνε βάλανος· γίνεται δ' ἐν τοῖς ἑξῆς μνεία ἄλλων τε καὶ τῶν *μιμαικύλων*.

Κατὰ τὴν γνώμην ἡμῶν χρῆσιν ὁ συγγραφεὺς ἐποιήσατο τοῦ ὀνόματος *ἄκυλος*· «εἰς ἅπαντα δὲ χείρων ἐστὶν ἡ *ἄκυλος* τῆς ἀπὸ τῶν δρυῶν βαλάνου». Ὠνομάζετο δ' *ἄκυλος* ἡ τῆς πρίνου βάλανος, ὡς δηλοῖ ὁ Γαληνὸς ἐν Τόμ. Ϛ', σελ. 778 «τὰς δὲ τῶν πρίνων βαλάνους, ἃς *ἀκύλους* ὀνομάζουσιν Ἕλληνες· εἰσὶ δὲ στρυφναὶ καὶ σκληραὶ καὶ διὰ τοῦτ' ἀηδεῖς, κἂν ἐφθάς τις προσφέρηται· δυσπέπτους καὶ παχυχύμους οὖσας φυλάττεσθαι χρή». Πρβ. καὶ σελ. 779 «ἀλλ' ὅσον γε τῶν βαλάνων αἱ *ἄκυλοι* στρυφνότεραι, τοσοῦτον τῶν καστανίων αἱ βάλανοι» καὶ σελ. 780 «κατὰ μὲν τὰς *ἀκύλους* τε καὶ τὰς τῶν δρυῶν βαλάνους καὶ τὰ καστάνια τοῖς κατὰ μέρος δένδροις οὐ μεγάλη τις διαφορὰ τοῦ καρποῦ». Λέγει δὲ καὶ ὁ Φρύνιχος ἐν Σοφιστ. Προπαρ. σελ. 22, 6 «*Ἄκυλος*: ὁ τῆς πρίνου καρπὸς· ὑῶν δ' ἐστὶ σιτία».

Ἀπαντᾷ δὲ τὸ περὶ οὗ ὁ λόγος ὄνομα καὶ παρ' Ὁμήρῳ καὶ παρ' ἄλλοις παλαιοῖς τε καὶ μεταγενεστέροις, οἷον

Ὀδυσσ. Κ, 241 «τοῖσι δὲ Κίρκη πάρ ῥ' *ἄκυλον* βάλανόν τ' ἔβαλεν καρπόν τε κρανείης ἔδμεναι, οἷα σύες χαμαιευνάδες αἰὲν ἔδουσιν». Περὶ τῶν καρπῶν τούτων γίνεται ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν Σχολίοις σελ. 464, 24 Δινδ. ἡ παρατήρησις ἥδε· «*Ἄκυλον* δέ φησι τὸν τῆς πρίνου καρπόν, *βάλανον* δὲ τὸν τῆς δρυός, καρπόν τε κρανείης τὸν τῆς κρανέας καρπόν, ὃς πίτταξις καλεῖται, οἱ δὲ βάρβυλος, οἱ δὲ μάραος». Γράφει δὲ καὶ ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1657, 14 «*Ἄκυλον* δὲ τὸν τῆς πρίνου, φασί, λέγει καρπόν, ὡς δηλοῖ καὶ Ἀθήναιος ἐν τῷ *ὁ συκάμινος συκαμίνους, ὁρᾷς, φέρει, ὁ πρῖνος ἀκύλους, ὁ κόμαρος μιμαίκυλα* — Βάλανοι δὲ οὐ δρυῶν μόνον ἀλλὰ καὶ φοινίκων καθ' ὁμοιότητα — Καὶ βάλανοι δὲ Διὸς τὰ κάστανα κατά τινας τῶν παλαιῶν. Κράνεια δὲ προπαροξυτόνως τὸ φυτόν· ὁ δὲ καρπὸς αὐτῆς σεσίγηται μὲν Ὁμήρῳ διὰ τὸ δυσεκφώνητον, καλεῖται δέ, φασί, πίτταξις, οἱ δὲ βάρβυλόν φασιν, οἱ δὲ μάραον» (Πρβ. καὶ Κραμ. Ἀνέκδ. Παρ. Τόμ. Α', σελ. 396, 4). Ἐν τοῖς Δειπνοσοφισταῖς τοῦ Ἀθηναίου σελ. 50 ς' παρατίθενται ἐκ τοῦ κωμικοῦ Ἄμφιδος οἱ στίχοι:

ὁ συκάμινος συκάμιν', ὁρᾷς, φέρει,
ὁ πρῖνος ἀκύλους, ὁ κόμαρος μιμαίκυλα.

Ὁ Μεινέκιος προσέθηκε μετὰ τοὺς στίχους τούτους (ἐν τῇ ἐκδόσει τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Γ', σελ. 318) τὸ *κράνεια μέσπιλα* ἐκ τοῦ Ὀνομαστικοῦ τοῦ Πολυδεύκους βιβλ. Α', 233 «Συκάμινος· ἔστι δ' ἐν τῇ μέσῃ κωμῳδίᾳ. Ὁ μὲν καρπὸς συκάμινον οὐδετέρως, τὸ δὲ δένδρον ἀρρενικῶς ἐκφέρεται·

ὁ συκάμινος συκάμιν', ὁρᾷς, φορεῖ,
κρανία (κράνεια) μέσπιλα».

Σημειώσεως ἄξιον εἶνε ὅτι παρὰ μὲν τῷ Ἀθηναίῳ κεῖται *φέρει*, παρὰ δὲ τῷ Πολυδεύκει *φορεῖ*. Ἀλλὰ τὸ δένδρον *φέρει* καρπούς, οὐ *φορεῖ* (Ἴδε Κόβητον ἐν *Nov. Lect.* σελ. 140). Περὶ τοῦ *φέρειν* καὶ *φορεῖν* θὰ διαλάβωμεν ἀλλαχοῦ ποιούμενοι λόγον καὶ περὶ τοῦ παρὰ τῷ Θεοκρίτῳ Εἰδ. Α', 132 «νῦν δ' ἴα μὲν *φορέοιτε* βάτοι, *φορέοιτε* δ' ἄκανθαι».

Κρατῖν. ἐν Σχολ. εἰς Πλάτ. Λῦσ. σελ. 206 ε' «ἢ Διονυσίοις *ἀκύλοις* παίζουσ' ἀνέμενοι τρόπα». Τὸ χωρίον τοῦτο εἶνε παρεφθαρμένον. Ὁ Μεινέκιος ἐν τῇ ἐκδόσει τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Β' σελ. 113 εἴκασεν:

οἱ (εἰ) Διονυσίοις
ἀκύλοις ἀεὶ παίζουσ' ἀνειμένοι τρόπα.

Ἥκιστ' ἀποδεκτὴ ἡ γραφὴ αὕτη φαίνεται. Πρβ. καὶ Κόκκιον ἐν τῇ ἐκδόσει τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Α', σελ. 65.

Φερεκράτ. ἐν Βεκκ. Ἀνεκδ. σελ. 373, 27 «καὶ τὰς βαλάνους καὶ τὰς *ἀκύλους* καὶ τὰς ἀχράδας περιόντας». Περὶ τοῦ τύπου *περιόντας* ἀντὶ τοῦ *περιιόντας* θὰ εἴπωμεν τὰ δέοντα ἀλλαχοῦ. Ὁ Βλαϋδέσιος γράφει ἐν *Advers. in Com. Gr. Fragm.* Τόμ. Α', σελ. 25 «περιόντας: Qu. περινοστεῖ. Cf. Arist. Pac. 762. παλαίστρας περινοστῶν. Vel περιῄει aut περιέρρει (περιέρρων). Sed cf. Antiph. III 141, περιόντα».

Θεόκρ. Ε', 94 «οὐδὲ γὰρ οὐδ' *ἀκύλοις* ὀρομαλίδες· αἱ μὲν ἔχοντι λεπτὸν ἀπὸ πρίνοιο λεπύριον, αἱ δὲ μελιχραί». Ἐν τοῖς εἰς Θεόκριτον Σχολίοις φέρεται σελ. 205, 8 Ἀρηνσ. «Οὐδὲ γὰρ οὐδ' ἀκύλοις: ταῖς τοῦ πρίνου βαλάνοις· *ἄκυλος* γὰρ ὁ τοῦ πρίνου καρπός — Ὀρομαλίδες δὲ τὰ ἄγρια μῆλα — Ἀσκληπιάδης δὲ ὁμομαλίδες γράφει» καὶ σελ. 206, 6 «*Ἄκυλος* τὸ πρινοβάλανον, ὀριμαλὶς δὲ τὸ ἄγριον μῆλον». Ὁ Ἀρήνσιος παρέλαβεν ἐν τῇ ἐκδόσει τοῦ Θεοκρίτου Τόμ.

Α', σελ. 43 τὴν γραφὴν *δμομαλίδες*· ἱκανὸν δὲ περὶ αὐτῆς λόγον ἐποιήσατο ἐν τῷ Β' τόμῳ, τῷ περιέχοντι τὰ Σχόλια, σελ. 506. Τῇ γνώμῃ τοῦ Ἀρηνσίου προσέθετο μὲν ὁ Μεινέκιος ἐν τῇ Γ' ἐκδόσει τῶν Βουκολικῶν Ποιητῶν σελ. 236, ἠναντιώθη δ' ὁ Φρίσχιος ἐν τῇ ἐκδόσει τοῦ Θεοκρίτου Τόμ. Α', σελ. 172. Ἀντὶ τοῦ *λεπτόν* ἐγράφη ὑπό τινων *λεπρόν*, ὑπὸ δὲ τοῦ Ἀρηνσίου *λειτόν* (τουτέστι: *λιτόν*· πρβ. Ἐφημ. Φιλομ. 1880, σελ. 136), ὑπὸ δὲ τοῦ Μεινεκίου *λυπρόν*, ὃ καὶ ὁ Φρίσχιος ἐνέκρινεν.

Ἄρατ. 1047 «πρῖνοι μὲν θαμινῆς *ἀκύλου* κατὰ μέτρον ἔχουσαι». Σχολ. σελ. 148, 20 Βεκκ. «Ὁ δὲ *ἄκυλος* ὁ καρπός ἐστι τῆς πρίνου. Καὶ Ὅμηρος· παρὰ δ' ἄκυλον βάλανόν τε».

Ἀριστ. περὶ τὰ Ζῷ. Ἱστορ. Η', ϛ', 3 «πιαίνεται δὲ τὸ ζῷον τοῦτο κριθαῖς, κέγχροις, σύκοις, *ἀκύλοις*, ἀχράσι, σικύοις».

Ἱπποκρ. Τόμ. Γ', σελ. 449 «*ἄκυλοι* δὲ καὶ βάλανοι καὶ φηγοὶ στατικὰ ὠμὰ καὶ ὀπτά· ἑφθὰ δὲ ἧσσον».

Λόγγ. Ποιμεν. Γ', 3 «βοῶν ἐπὶ φάτναις φροντὶς ἦν ἄχυρον ἐσθιόντων, αἰγῶν καὶ προβάτων ἐν τοῖς σηκοῖς φυλλάδας, ὑῶν ἐν τοῖς συφεοῖς *ἄκυλον* καὶ βαλάνους». Ἴδε Σειλῆρον εἰς *Λόγγ*. σελ. 261.

Πολυδεύκ. Θ', 103 «ἡ δὲ τρόπα καλουμένη παιδιὰ γίνεται μὲν ὡς ἐπὶ τὸ πολὺ δι' ἀστραγάλων — πολλάκις δὲ καὶ *ἀκύλοις* καὶ βαλάνοις ἀντὶ τῶν ἀστραγάλων οἱ ῥίπτοντες ἐχρῶντο».

Ὁ Θεόφραστος γράφει ἐν τῇ περὶ Φυτῶν Ἱστορίᾳ βιβλ. Γ', ιϛ', 3 «Ὃ δὲ καλοῦσιν οἱ Ἀρκάδες φελλόδρυν τοιάνδε ἔχει τὴν φύσιν· ὡς μὲν ἁπλῶς εἰπεῖν ἀνὰ μέσον πρίνου καὶ δρυός ἐστιν· καὶ ἔνιοί γε ὑπολαμβάνουσιν εἶναι θῆλυν πρῖνον — Καλοῦσι δὲ οἵ γε Δωριεῖς καὶ ἀρίαν τὸ δένδρον. Ἔστι δὲ μαλακώτερον καὶ μανότερον τοῦ πρίνου, σκληρότερον δὲ καὶ πυκνότερον τῆς δρυὸς — καὶ τὸν καρπὸν (ἔχει) τοῦ μὲν πρίνου κατὰ μέγεθος ἐλάττω, ταῖς ἐλαχίσταις δὲ βαλάνοις ἴσον, καὶ γλυκύτερον μὲν τοῦ πρίνου, πικρότερον δὲ τῆς δρυός. Καλοῦσι δέ τινες τὸν μὲν τοῦ πρίνου καὶ τὸν ταύτης καρπὸν *ἄκυλον*, τὸν δὲ τῆς δρυὸς *βάλανον*». Πρβ. καὶ Συναγωγ. Λέξ. Χρησ. ἐν Ἀνεκδ. Βεκκ, σελ. 373, 25 «*Ἄκυλος* ὁ τῆς πρίνου καρπὸς καλεῖται ὑπὸ τῶν παλαιῶν, *βάλανος* δὲ ὁ τῆς δρυός».

Παρατιθέμεθα καὶ τὰ ὑπὸ τοῦ ἀοιδίμου Κοραῆ γεγραμμένα ἐν *Ἀτάκτ*. Τόμ. Ε', σελ. 9 «Ἀκιλλάκαν, θηλ. ὀνομάζουν εἰς τὴν Κρή-

την, κατὰ τὸν Βελώνιον (Observat. I, 16, pag. 38) γένος τι δρυὸς (chêne). Εἰς δὲ τὸ ἅγιον Ὄρος *Ἀρίαν* (Ibid. 42, pag. 88). Πιθανὸν ὅτι ἐκεῖνο τὸ γένος, τῆς ὁποίας τὸν καρπὸν ὀνομάζει *Ἄκυλον* ὁ Ποιητὴς (Ὀδυσσ. κ', 242),

Παρ' ἄκυλον βάλανόν τ' ἔϐαλεν, καρπόν τε κρανείης.

Ἡ Ἄκυλος (λεγομένη καὶ Ἀκύλη), ἡ ἀπὸ τὸν Θεόφραστον ὀνομαζομένη Ἀρία, εἶναι ἡ Quersus ilex (l'Yeuse) τῶν φυτολόγων· ἡ δὲ Βάλανος, ἡ Quercus esculus (hêtre) ἡ καὶ Φηγός, Ἑλλ. (Fagus, Ῥωμ.) λεγομένη. Ὁ σχολιαστὴς τοῦ Θεοκρίτου (V, 94) ἐξηγεῖ τὰς ἀκύλους *Τὰς τοῦ πρίνου βαλάνΑΣ· Ἄκυλος γὰρ ὁ τοῦ πρίνου καρπός*. Ἀλλοῦ δέ, περὶ τοῦ Φηγοῦ τοῦ αὐτοῦ Θεοκρίτου (IX, 20), *Φηγοί, οἱ βάλανοι. . . . Εἰσὶ δὲ δρυὸς γένη πέντε, Φηγός, Κιμερίς, Ἐτυμόδρυς, Ἁλίφλοιος, Ἄκυλος*». Οὐδέποτ' ἐλέχθη ἐν τῇ Ἑλληνικῇ γλώσσῃ *ἀκύλη*, ἀλλ' ἀείποτ' εἰς ΟΣ ἐπερατοῦτο τὸ περὶ οὗ ὁ λόγος ὄνομα. Κακῶς ἄλλοτ' ἔκειτο παρὰ τῷ Ἀριστοτέλει ἐν τῷ μνημονευθέντι χωρίῳ *ἀκύλΑΙΣ* (Ἴδε Σνειδῆρον εἰς *Ἀριστοτ. περὶ τὰ Ζῷ. Ἱστορ.* Τόμ. Γ', σελ. 612). Περὶ τῆς μετ' ἀρσενικοῦ ἄρθρου ἐκφορᾶς τοῦ ὀνόματος *φηγός, περὶ τοῦ φηγοῦ*, οὐδὲν νῦν λέγομεν. Παρατηροῦμεν δ' ὅτι ἐν τοῖς εἰς Θεόκριτον Σχολίοις Εἰδ. Θ', 20 ἡ παραδεδομένη γραφὴ εἶνε «εἰσὶ δὲ δρυὸς γένη πέντε· φηγός, κιμερίς, ἐτυμόδρυς, ἄλυφλος καὶ *ἄμυλος*» (Ἴδε τὴν Διδώτειον ἔκδοσιν τῶν εἰς Θεόκριτον Σχολίων σελ. 67, 23). Μετέϐαλον δὲ τὸ *ἄμυλος* εἰς τὸ *ἄκυλος* ὁ Κισλίγγιος ἐν τῇ ἐκδόσει τοῦ Θεοκρίτου σελ. 932 καὶ ὁ Σνειδῆρος ἐν τῇ τοῦ Θεοφράστου Τόμ. Ε', σελ. 303. Ὁ Ἀρήνσιος ἔγραψε μὲν ἐν τῇ ἐκδόσει τῶν εἰς Θεόκριτον Σχολίων σελ. 307, 8 «Εἰσὶ δὲ δρυὸς γένη πέντε· φηγός, ἡμερίς, ἐτυμόδρυς, ἀλίφλοιος καὶ *αἰγίλωψ*». Ἀλλ' ἐν σελ. 531 εἴκασε «φηγός, ἡμερὶς (*ἡ καὶ*) ἐτυμόδρυς, ἀλίφλοιος, (*πλατύφυλλος*) καὶ αἰγίλωψ», ὁρμηθεὶς ἐξ ὧν λέγει ὁ Θεόφραστος ἐν τῇ περὶ Φυτῶν Ἱστορίᾳ βιϐλ. Γ', η', 2 «Γένη μὲν οὖν οἱ μὲν τέτταρα ποιοῦσιν, οἱ δὲ πέντε. Διαλλάττουσι δ' ἔνια τοῖς ὀνόμασιν, οἷον τὴν τὰς γλυκείας φέρουσαν *οἱ μὲν ἡμερίδα καλοῦντες, οἱ δ' ἐτυμόδρυν*. Ὁμοίως δὲ καὶ ἐπ' ἄλλων. Ὡς δ' οὖν οἱ περὶ τὴν Ἴδην διαιροῦσι, τάδε ἐστὶ τὰ εἴδη· ἡμερίς, αἰγίλωψ, *πλατύφυλλος*, φηγός, ἀλίφλοιος». Ἀναγκαῖον δὲ νομίζομεν νὰ δηλωθῇ ὅτι ἡ μὲν τοῦ *ἄλυφλος* μετατύπωσις εἰς τὸ *ἀλίφλοιος* ἐγένετο ὑπὸ τοῦ Κοιλή-

ρου, ἡ δὲ τοῦ *χιμερίς* εἰς τὸ *ἡμερίς* ὑπὸ τοῦ Κισλιγγίου (ἐν τῇ ἐκδόσει τοῦ Θεοκρίτου σελ. 932). Σημειωτέον ἐν τέλει ὅτι οὐδὲν μαρτύριον ἔχομεν τῆς ἐπὶ δένδρου χρήσεως τοῦ ὀνόματος *ἄκυλος*.

Εἴδομεν ὅτι *ἄκυλος* ἐκαλεῖτο ὁ τῆς πρίνου καρπός, κατὰ δὲ τὸν Θεόφραστον καὶ ὁ τῆς φελλόδρυος ἢ ἀρίας. Ὁ Νίκανδρος δ' ὅμως ἐκάλεσεν *ἀκύλους* τὰς τῆς φηγοῦ βαλάνους ἐν τοῖς Ἀλεξιφαρμάκοις στίχ. 260:

ἀλλὰ σὺ πολλάκι μὲν χαίτην δρυὸς οὐλάδα κόψας,
πολλάκι καὶ φηγοῖο πόροις ἀκύλοισιν ὁμαρτῇ.

Ἐν τοῖς Σχολίοις φέρεται «Πολλάκις μὲν καὶ τῆς φηγοῦ φησι τὴν χαίτην βάλοις ὁμοῦ τοῖς ἀκύλοις, τουτέστι τῷ καρπῷ» καὶ «Ἤγουν σὺν αὐταῖς ταῖς βαλάνοις· διαφέρει γάρ, φησί, δρῦς καὶ φηγός, εἰ μή που φηγὸν τὴν πρῖνον εἶπεν· ἄλλη γὰρ δρῦς καὶ ἄλλη φηγὸς καὶ ἄλλη πρῖνος, τὰ δὲ τρία δρύες καλοῦνται». Ἀνελλήνιστος εἶνε ἡ κατ' ἀρσενικὸν γένος ἐκφορὰ *τοῖς ἀκύλοις* καὶ *ὁ ἄκυλος* (ἐν Σχολ. εἰς Ἄρατ. σελ. 148, 20). Ὁ Εὐτέκνιος γράφει ἐν τῇ Μεταφράσει τῶν Νικάνδρου Ἀλεξιφαρμάκων (σελ. 238, 7 Διδ.) «φύλλα τοῦτο μὲν δὴ κοπτέτω ὁ τοιοῦτος δρυός, τοῦτο δὲ καὶ φηγοῦ, ἀλλὰ σὺν αὐτοῖς τοῖς φύλλοις κοπτέτω τὸν καρπὸν τῆς φηγοῦ».

Δ'.

Κάστανα — καστάνεα, κτλ.

Ἐν οἷς ἐκ τοῦ Γαληνοῦ κατεχωρίσαμεν ἔμπροσθεν (σελ. 533) εἶνε γεγραμμένον «Εἰς ἅπαντα δὲ χείρων ἐστὶν ἡ μιμαίκυλος (ἡ ἄκυλος) τῆς ἀπὸ τῶν δρυῶν βαλάνου, καθάπερ αὕτη τῆς τῶν κ α σ τ α ν ῶ ν ὀνομαζομένων· ἄρισται γὰρ ἐκεῖναι τῶν βαλάνων εἰσίν, ἔνιοι δὲ λοπίμους αὐτὰς ὀνομάζουσιν».

Ὁ Λοβέκκιος μνησθεὶς ἐν τοῖς Παραλειπομένοις σελ. 319 τοῦ ὀνόματος *κάστανα* ἐδήλωσεν ὅτι ὁ Γαληνὸς ἐν Τόμ. Ϛ', σελ. 621 ἐποιήσατο χρῆσιν τῆς ὀξυτόνου ἐκφορᾶς (*καστανά-καστανῶν*). Τὴν γνώμην τοῦ Λοβεκκίου παρέθετο ὁ Ζαχῆρος ἐν *Dissert. Philol. Hal.*

Τόμ. Γ', σελ. 45, οὐδὲν δ' αὐτὸς περὶ τῆς ἀήθους τονώσεως παρετήρησεν. Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Δ', σελ. 1008 νομίζεται ὅτι τὸ *καστανῶν* εἶνε πλημμελὴς γραφὴ τοῦ *καστάνων*.

Ἡμεῖς ἀδυνατοῦμεν μὲν νὰ πείσωμεν ἡμᾶς αὐτοὺς ὅτι ἐρρήθη ἐν τῇ Ἑλληνικῇ γλώσσῃ *καστανά - καστανῶν*, δὲν τολμῶμεν δὲ νὰ γράψωμεν ἐν τῷ προκειμένῳ χωρίῳ *καστάνων* γενικὴν τοῦ *κάστανα*, διότι λόγος ἐν αὐτῷ γίνεται οὐχὶ περὶ καρπῶν ἀλλὰ περὶ δένδρων. Πρὶν δὲ ζητήσωμεν τὴν λέξιν, ἥτις ἐτέθη πιθανῶς ὑπὸ τοῦ Γαληνοῦ, καλὸν νομίζομεν νὰ γνωσθῇ τίνα ὀνόματα ἀπαντῶσι παρὰ τῷ συγγραφεῖ τούτῳ ἔχοντα κοινὸν μὲν τὸ ΚΑΣΤΑΝ, διάφορον δὲ τὴν κατάληξιν. Εἶνε δ' ἃ ἡμεῖς εὕρομεν παρ' αὐτῷ διδακτικὰ τοῦ πράγματος χωρία τάδε.

Τόμ. ϛ', σελ. 777 : ὀνομάζουσι δ' οἱ ἄνθρωποι τὰς μὲν τῶν φοινίκων (βαλάνους) ὁμωνύμως αὐτῷ τῷ φυτῷ φοίνικας· ὅσαι δ' ἐπὶ ταῖς δρυσί, τὰς μὲν καὶ τοῖς ἀνθρώποις ἡδέως ἐσθιομένας *καστανέας*, ἔνιοι δὲ *καστάνια* κατὰ τὸ καλούμενον οὐδέτερον γένος.

Τόμ. ϛ', σελ. 779 : ἀλλ' ὅσον γε τῶν βαλάνων αἱ ἄκυλοι στρυφνότεραι, τοσοῦτον τῶν *καστανίων* αἱ βάλανοι.

Τόμ. ϛ', σελ. 780 : κατὰ μὲν τὰς ἀκύλους τε καὶ τὰς τῶν δρυῶν βαλάνους καὶ τὰ *καστάνια* τοῖς κατὰ μέρος δένδροις κτέ.

Τόμ. ϛ', σελ. 791 : εἰσὶ δ' οἱ μὲν ἀπὸ δρυῶν (καρποὶ) ὀλίγου δεῖν ἅπαντες κακόχυμοι πλὴν τῶν *καστανειῶν* ὀνομαζομένων βαλάνων.

Τόμ. ΙΑ', σελ. 647 : ἀλλὰ σκληρὸν μένον ἐπικτήσεται γλυκύτητα, καθάπερ αἱ τῶν δρυῶν βάλανοι καὶ μάλιστα αἱ ὀνομαζόμεναι *καστανεῖαι*.

Τόμ. ΙΑ', σελ. 648 : στρυφνὸς δὲ ἅμα καὶ γλυκὺς ὅ τε τῆς μυρσίνης καὶ ὁ τῆς ἀχράδος καὶ ὁ τῆς δρυός· καὶ πλέον μὲν γλυκὺς ἢ στρυφνὸς ὁ τῆς *καστανείας* ὀνομαζόμενος, αὐστηρὸς δὲ μόνον ὁ τῶν Ἀμιναίων ἀμπέλων καρπὸς καὶ οἶνος».

Θαυμάζομεν βλέποντες παρὰ τῷ Γαληνῷ τὸ μὲν *καστανέας* ἐπὶ τῶν βαλάνων παρειλημμένον, τὸ δὲ *καστανείας* ἐπὶ τοῦ δένδρου. Νομίζομεν δ' ὅτι ἐκλείπει τὸ καθ' ἡμᾶς παράδοξον τοῦτο, ἂν ἀναγνῶμεν «τὰς μὲν καὶ τοῖς ἀνθρώποις ἡδέως ἐσθιομένας *καστανείας*, ἔνιοι δὲ καστάνια» καὶ «ὁ τῆς *καστανέας* ὀνομαζομένΗΣ». Εὔλογον δ' ἡ-

μῖν φαίνεται νὰ μεταβληθῇ καὶ τὸ «πλὴν τῶν *καστανειῶν* ὀνομαζομένων βαλάνων» εἰς τὸ *καστανείων* καὶ τὸ «αἱ ὀνομαζόμεναι *καστανεῖαι*» εἰς τὸ *καστάνειαι*. Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου λ. *λόπιμος* μνημονεύεται ἐκ τοῦ Ἀετίου τὸ «ἄρισται δὴ τῶν βαλάνων πασῶν εἰσιν αἱ *καστάνῖαι* καὶ αἱ λόπιμοι ὀνομαζόμεναι». Γραπτέον δὲ «*αἱ καὶ* λόπιμοι ὀνομαζόμεναι». Δύναται δὲ τὸ ἐπίθετον *καστάνειος* νὰ ὑποληφθῇ τοῦ *καστανέα* παράγωγον, ὡς τοῦ *μηλέα* εἶνε τὸ *μήλειος*· ἀλλὰ δὲν φαίνεται τὸ πρᾶγμα ἀναμφίλογον. Ἐν τῇ Ῥωμαϊκῇ γλώσσῃ λέγεται *nux castanea* καὶ *castaneae nuces* (Ἴδε Φορβιγῆρον εἰς *Βεργιλ. Βουκολ.* II, 52) καὶ ἁπλῶς *castanea-castaneæ*.

Τούτων οὕτως ἐχόντων, ἐπειδὴ ἅμα μὲν βάρβαρον, ἅμα δ' ἀνάρμοστον τῇ ῥήσει τοῦ Γαληνοῦ εἶνε τὸ *καστανῶν*, εἰκάζομεν ὅτι ἔκειτο κατ' ἀρχὰς παρ' αὐτῷ «καθάπερ αὕτη τῆς τῶν *καστανεῶν* ὀνομαζομένων». Τὸ περισπασμένον *καστανῶν* εἶνε μὲν αὐτὸ ἀσύστατον, διδάσκει δ' ἴσως ὅτι ἐκείνη ἡ μετατύπωσις αὐτοῦ ἔχει καλῶς, καθ' ἣν σχηματίζεται λέξις ὁμοία τὴν τάσιν οὖσα.

Ταύτην ἡμεῖς τὴν γνώμην ἀποφαινόμεθα. Ἐνδέχεται δ' ὅμως ἄλλος τις νὰ δοξάζῃ ὅτι ἐπανορθοῦται ἡ ῥῆσις, ἄν, ἐξαλειφομένου τοῦ ἄρθρου *τῆς*, ἀναγνωσθῇ «καθάπερ αὕτη τῶν *καστάνων* ὀνομαζομένων», ἀναφερόμενον εἰς ὀνομαστικὴν *κάστανα*, ἤ, τοῦ τόνου μόνου ἀναβιβαζομένου, γραφῇ «καθάπερ αὕτη τῆς τῶν *καστάνων* ὀνομαζομένων», ἐκλαμβανόμενον γενικὴ τοῦ *κάστανοι*, ὃ κεῖται παρὰ τῷ Ἡσυχίῳ λέγοντι «Καρύαι: τὰς ἀμυγδάλΟΥΣ καὶ *καστάνους*. Καὶ τόπος». Περὶ τῆς χρήσεως τοῦ οὐδετέρου *κάστανον* ἐπὶ τοῦ δένδρου τοῦ φέροντος κάστανα, ἣν οὐδαμῶς παρὰ τῷ Γαληνῷ ἐγκρίνομεν, θὰ γράψωμεν ἐν τοῖς ἔπειτα.

Ἐν τρισὶ τῶν ἐκ τοῦ Γαληνοῦ καταλεχθέντων ἄνω χωρίων φέρεται ὁ τύπος *καστάνια*. Τοῦ τύπου τούτου ὀλίγα ἔτι μαρτύρια ἔχομεν ἐξ ἄλλων νὰ μνημονεύσωμεν, οἷον

Διοσκορίδ. Τόμ. Β', σελ. 331 «ὠφελεῖ *καστανίων* τὸ ἐντὸς λεῖον σὺν οἴνῳ».

Ἡσύχ. «Εὐβοϊκά: τὰ *καστάνια*» καὶ «Ἀσκηρά: εἶδός τι τῶν *καταστανίων*».

Ἐτυμ. Μέγ. σελ. 389, 1 «Εὐβοΐδες: τὰ *καστάνια*».

Πολυδεύκ. Α', 232 «Ἀχράδες—κάρυα τὰ οὐκ ἔχοντα διαφυήν,

Εἴη δ' ἂν ταῦτα τὰ λεπτοκάρυα ἢ μᾶλλον τὰ *καστάνια* ὀνομαζόμενα· φησὶ γὰρ περὶ αὐτῶν Ξενοφῶν· παῖδας σεσιτευμένους καρύοις ἑφθοῖς. Ἔνιοι δὲ ταῦτα καὶ Διὸς βαλάνους ὑπὸ τῶν ποιητῶν κεκλῆσθαι νομίζουσιν». Τὸ χωρίον τοῦ Ξενοφῶντος ἀπαντῶν ἐν Ἀναβ. Ε', δ', 32 ἔχει ὧδε· «ἐπεδείκνυσαν αὐτοῖς παῖδας τῶν εὐδαιμόνων σιτευτοὺς τεθραμμένους καρύοις ἑφθοῖς». Τὴν μετοχὴν *τεθραμμένους*, ἣν βλέπει τις καὶ παρὰ τῷ Εὐσταθίῳ παρατιθεμένῳ τὴν Ξενοφώντειον ῥῆσιν ἐν ταῖς εἰς Διονύσιον Παρεκβολαῖς σελ. 349, 36 Διδ., περιέγραψεν ὡς παρεμβεβλημένην ὁ Κόβητος ἐν *Nov. Lect.* σελ. 463. Ἐν ἄλλῳ τόπῳ τῆς Ἀναβάσεως βιβλ. Ε', δ', 29 λέγει ὁ Ξενοφῶν «κάρυα δ' ἐπὶ τῶν ἀνώγεων ἦν πολλὰ τὰ *πλατέα* οὐκ ἔχοντα διαφυὴν οὐδεμίαν». Φέρεται δὲ καὶ ἐν τοῖς Δειπνοσοφισταῖς τοῦ Ἀθηναίου σελ. 53 ε' «Τὰ δὲ *πλατέα* φυσωδέστερά ἐστιν, ἀλυπότερα δὲ τὰ ἑφθὰ τῶν ὠμῶν καὶ πεφρυγμένων, τὰ δὲ πεφρυγμένα τῶν ὠμῶν. Φιλότιμος δὲ ἐν τοῖς περὶ τροφῆς φησι· τὸ *πλατὺ* καὶ τὸ καλούμενον Σαρδιανὸν δυσκατέργαστά ἐστιν ὠμὰ πάντα καὶ δυσδιάλυτα — τὸ δὲ Ποντικὸν λιπαρὸν καὶ δυσκατέργαστον» καὶ ἐν τοῖς Ἱπποκρατείοις Τόμ. Γ', σελ. 449 «καὶ κάρυα τὰ στρογγύλα παραπλήσια· τὰ δὲ *πλατέα* πέπονα τρόφιμα». Νομίζεται δ' ὅτι διὰ τῶν πλατέων καρύων σημαίνονται τὰ κάστανα ἢ καστάνια (Ἴδε Σνειδῆρον εἰς *Ξενοφ. Ἀνάβ.* σελ. 239 Δινδορφ. καὶ Λένζιον ἐν *Βοταν. τῶν Ἀρχ. Ἑλλ. καὶ Ῥωμ.* σελ. 410). Ἀλλ' ὁ Ἔννιος γράφει ἐν *Kulturpfl. und Hausth.* σελ. 340 ἐκδ. 6' «viel wahrscheinlicher aber eine grosse Art *corylus* waren, wie sie jene Gegenden hervorbringen». Σημειωτέον δ' ὅτι τὸ ἐν τοῖς Δειπνοσοφισταῖς τοῦ Ἀθηναίου «τὸ πλατὺ *καὶ* τὸ λεγόμενον Σαρδιανόν» μετέβαλεν ὁ Καιβέλιος ἐν τῇ ἐκδόσει τοῦ Ἀθηναίου Τόμ. Γ', σελ. ε' εἰς τὸ «τὸ πλατὺ *κάρυον* τὸ καλούμενον Σαρδιανόν». Ἀλλ' ἐπιφέρεται πληθυντικὸς ἀριθμός· «τὸ πλατὺ καὶ τὸ λεγόμενον Σαρδιανὸν *δυσκατέργαστά* ἐστιν *ὠμὰ πάντα* καὶ *δυσδιάλυτα* κτέ.»

Ἐν τοῖς Δειπνοσοφισταῖς τοῦ Ἀθηναίου εἶνε προενηνεγμένον διὰ διφθόγγου τὸ περὶ οὗ ὁ λόγος ὄνομα σελ. 52 6' «Ἡρακλέων δέ φησιν ὁ Ἐφέσιος· κάρυα ἐκάλουν καὶ τὰς ἀμυγδάλας καὶ τὰ νῦν *καστάνεια*» (Πρβ. καὶ σελ. 54 δ').

Κεῖται δὲ καὶ ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ σελ. 493, 25 «Κα-

στανέα: πόλις Μαγνησίας· ὅθεν καὶ τὰ *Καστάνεια* κάρυα τὰ ἀπὸ Καστάνης τινός». Ὁ Συλβούργιος ἔγραψεν «ἢ ἀπὸ Καστάνης τινός». Τοῦ ἑνικοῦ *Καστάνειον* γίνεται μνεία ἐν τῷ Λεξικῷ τοῦ Σουίδα ἀλλ' ἄνευ ἐξηγήσεως.

Πλείονα παραδείγματα ὑπάρχουσιν ἡμῖν πρόχειρα τοῦ τρισυλλάβου τύπου *κάστανα*. Εἶνε δὲ τάδε.

Διοσκορίδ. Τόμ. Α', σελ. 137 «αἱ δὲ Σαρδιαναὶ βάλανοι, ἅς τινες λόπιμα ἢ *κάστανα* καλοῦσιν ἢ μότα ἢ Διὸς βαλάνους, στύφουσαι καὶ αὗται κτέ.».

Ῥοῦφ. Ἐφέσ. σελ. 415, 1 «καὶ τὰ *κάστανα* δὲ ἑψόμενα ἢ ὀπτὰ συμβάλλονται πάνυ» καὶ σελ. 426, 12 «τῶν δὲ *καστάνων* λαμβάνειν οὐδὲν ἄτοπον».

Ὀρειβάσ. Τόμ. Α', σελ. 4, 5 «καὶ κάρυα τὰ μεγάλα καὶ τὰ μικρὰ καὶ τὰ *κάστανα*» καὶ σελ. 208, 11 «θέρμοι τρόφιμοι, *κάστανα*, φακῆ» καὶ σελ. 225, 11 «σήσαμον, ἐρύσιμον, *κάστανα*, βάλανοι».

Ἀλέξ. Τραλλιαν. Τόμ. Β', σελ. 169 «ἐν δὲ τοῖς τραγήμασι τὰ *κάστανα* τῶν ἄλλων πάντων προτιμᾶν» καὶ σελ. 291 «τούτοις καὶ τὰ *κάστανά* ἐστιν ἐπιτήδεια καὶ μέσπιλα» καὶ σελ. 331 «τῶν δὲ τραγημάτων τὰ *κάστανα* καὶ ἡ σταφίς» καὶ σελ. 405 «καὶ *κάστανα* δὲ προσφέρεσθαι δεῖ οὐδὲν ὑφορώμενον» καὶ σελ. 407 «καὶ τὰ *κάστανα* δὲ ὀπτὰ συμμέτρως ἐσθιόμενα». Πρβ. καὶ σελ. 457 καὶ 485 καὶ 495 καὶ 511.

Ἑρμ. Σωζομεν. Ἐκκλ. Ἱστορ. σελ. 900 Οὐσσ. «ὡς *καστάνοις* ἀντὶ σίτου κεχρῆσθαι τὸν δῆμον».

Φώτ. Ἐπιστ. σελ. 555 Βαλ. «ὄρειά σοι τὰ δῶρα, *κάστανα* καὶ ἀμανῖται». Τὸ χωρίον τοῦτο ἐμνημονεύθη ὑπὸ τοῦ Σουίδα λ. *ὀρεία* (σελ. 783 β' Βεκκ.).

Γεωπον. σελ. 749 Νικλ. «Διὸς βάλανός ἐστι τὸ *κάστανον*» καὶ σελ. 752 «ἀκρόδρυα δὲ καλεῖται ὅσα ἔξωθεν κέλυφος ἔχει, οἷον ῥοιά, πιστάκια, *κάστανα*».

Ἡσύχ. «*Κάστανα*: Διὸς βάλανοι, Εὐβοϊκὰ κάρυα» καὶ «Λόπιμα: *κάστανα*· οἱ δὲ Εὐβοϊκά».

Εὐστάθ. Παρεκβ. εἰς Ὅμηρ. σελ. 948, 50 «καὶ Εὐβοϊκὰ δέ, φασί, κάρυα τὰ *κάστανα* καὶ Σαρδιαναὶ βάλανοι ἐκαλοῦντο» καὶ σελ. 1657,18 «καὶ βάλανοι δὲ Διὸς τὰ *κάστανα* κατά τινας τῶν παλαιῶν».

Μιχαὴλ ὁ Ψελλὸς εἶπε καθ' ἑνικὸν ἀριθμὸν ἐν Φυσ. καὶ Ἰατρ. Ἑλλ. Μικρ. Τόμ. Α', σελ. 208, 189 «τὸ *κάσταvόν* θ' ὅμοιον».

Τοῦ τρισυλλάβου τύπου *κάστανα* ἐγένετο χρῆσις καὶ ὑπὸ Μνησιθέου τοῦ Ἀθηναίου, ὡς μανθάνομεν ἐκ τῶν ὑπὸ τοῦ Ἀθηναίου γεγραμμένων σελ. 54 6' «Μνησίθεος δ' ὁ Ἀθηναῖος ἐν τῷ περὶ ἐδεσμάτων, τῶν Εὐβοϊκῶν, φησί, καρύων ἢ *καστάνων*· ἀμφοτέρως γὰρ καλεῖται· δύσπεπτος μὲν ἡ κατεργασία τῇ κοιλίᾳ καὶ φυσώδης ἡ πέψις γίνεται, παχύνει δὲ τὰς ἕξεις, ἐάν τις αὐτῶν κρατήσῃ». Ἐν τοῖς ἑξῆς λέγει ὁ Ἀθήναιος «Ὁ δὲ Δίφιλος τὰ *κάστανα* καὶ Σαρδιανὰς βαλάνους καλεῖ» καὶ μετ' ὀλίγα «Ἀγέλοχος (Μειν. : *Ἀμφίλοχος*) δὲ ἄμωτα καλεῖ τὰ *καστάνEIa*· ὅπου δὲ γίνεται τὰ κάρυα τὰ Σινωπικά, ταῦτα δένδρα ἐκάλουν ἄμωτα». Ὁ Καιβέλιος εἰκάζει ἐν τῇ ἐκδόσει τοῦ Ἀθηναίου *τούτων τὰ δένδρα*, ἡμεῖς δὲ μεταγράφομεν (*ἐν*)*ταῦ(θα) τὰ δένδρα*. Ἐπειδὴ δὲ τὸ *ἄμωτα* ἐν τῷ χωρίῳ τοῦ Ἀγελόχου δηλοῖ δένδρα, εὔλογον φαίνεται νὰ νοηθῇ καὶ τὸ *καστάνεια* ἐπὶ δένδρων. Οὐδεμίαν δὲ νῦν παρατήρησιν περὶ τῆς χρήσεως ταύτης ποιούμεθα. Ὁ Διοσκορίδης Τόμ. Α', σελ. 137 γράφει ὅτι τὰς Σαρδιανὰς βαλάνους ἐκάλουν τινὲς λόπιμα ἢ κάστανα ἢ *μότα*. Παρὰ δὲ τῷ Ἀθηναίῳ ἀπαντᾷ σελ. 52 6' «καλεῖται δέ τινα καὶ *μόστηνα* κάρυα». Οὐδὲν ἀκριβὲς γινώσκεται περὶ τῶν ὀνομάτων *ἄμωτα* καὶ *μότα*· τοῦ δὲ *μόστηνα* ἡ ὀρθὴ ἐκφορὰ εἶνε *μοστηνά* ἢ *Μοστηνά*. Πρ6. *μύρον Κομμαγηνόν*, κτλ.

Ἐν τοῖς εἰς Νίκανδρον Σχολίοις φέρεται καὶ ὁ τετρασύλλαβος τύπος *καστάνιον-καστάνια* καὶ ὁ τρισύλλαβος *κάστανα* σελ. 42, 28 Κειλ. «Τὸ Καστανὶς ἔτρεφε πόλις Θεσσαλίας, ὅθεν τὰ *καστάνια* ἀπὸ τῆς Καστανίδος γῆς. Ἡ Καστανὶς πόλις Πόντου, ὅπου πλεονάζει τὸ *καστάνιον*. Καστανέα ὄρος Θεσσαλίας, ἐξ οὗ τὰ *κάστανα*· τῶν δὲ καστάνων τὸ μὲν Σαρδιανόν, τὸ δὲ λόπιμον, τὸ δὲ μαλακόν, τὸ δὲ γυμνόλοπον» (Πρ6. Σπρέγγελον εἰς *Διοσκορ.* Τόμ. Β', σελ. 407 καὶ Ἔννιον ἐν *Kulturpfl. und. Hausth.* σελ. 341 καὶ 342).

Ἐν τοῖς Ἀλεξιφαρμάκοις τοῦ Νικάνδρου στίχ. 269 ἔκειτο ἄλλοτε:

καστανοῦ καρύοιο ταχυφλοίοιο κάλυμμα,
νείαιραν τόθι σάρκα περὶ σκύλος αὖον ὀπάζει
δυσλεπέος καρύοιο, τὸ Καστανὶς ἔτρεφεν αἶα.

Ὁ Λοβέκκιος ἀπεφήνατο ἐν τοῖς Προλεγομένοις σελ 243 «Sed pro

καστανοῦ καρύου Nic. Al. 269. aut ut Schneiderus suasit, in Indice καστηνοῦ scribendum, aut quia huic testis deest, καστανέου; castaneas Romani vocant». Ὁ δ' Ὄθ. Σνειδῆρος γράφει ἐν τῇ ἐκδόσει τοῦ Νικάνδρου σελ. 289 «καστηνοῦ Π et reliqui omnes (nisi quidam habent καστήνου), καστανοῦ S, καστανέου Lehrs. ex coni. Lobeckii Proleg. Path. p. 243». Πρβ. Βολκμαννὸν ἐν *Comment. Ep.* σελ. 71 «Vulgo legitur in hoc versu contra metrum καστανοῦ, pro quo Lehrsius καστανέου scripsit. Sed Nicandreum puto fuisset καστανίου. Præstantissimi autem codices omnes habent καστηνοῦ, quam formam repiciendam et lexicis inferendam esse cenceo». Ἐν παρόδῳ παρατηροῦμεν ὅτι ἀντὶ τοῦ *ταχυφλοίοιο* τῶν ἀντιγράφων τινὰ ἔχουσι *λαχυφλοίοιο*· ὑπάρχει δὲ καὶ γραφὴ *τασυφλοίοιο* καὶ *δασυφλοίοιο*. Ἐν τοῖς Σχολίοις γίνεται ἐξήγησις τοῦ *δασυφλοίοιο*· ἐπιφέρεται δ' ὅτι «γράφεται καὶ *λαχυφλοίοιο* ἤτοι ἐλάχιστον φλοιὸν ἔχοντος». Ὁ Τούπιος ἐν *Διορθωτ.* Τόμ. Δ', σελ. 77 ἀνέγνω *παχυφλοίοιο*.

Ἐν Ἀττικῇ ἐπιγραφῇ γραφείσῃ περὶ τὰ τέλη τῆς δευτέρας ἢ τὰς ἀρχὰς τῆς πρώτης πρὸ Χριστοῦ ἑκατονταετηρίδος μνημονεύονται *καστάναια*· «τοὺς δὲ πωλοῦντας Περσικὰς ξηρὰς καὶ ἀμυ(γδ)άλας καὶ Ἡρακλεωτικὰ (κά)ρυα καὶ (κ)ώνους καὶ *καστάναια* (κ)αὶ κυάμους Αἰγύπτου (κ)αὶ φοινικοβαλάνους καὶ εἴ τινα ἄλλα τραγήματα μετὰ τούτων πωλεῖται, κτέ.» (Συλλ. Ἐπιγρ. Ἀττ. Τόμ. Β', α', σελ. 283). Ἀναγκαίως δ' ἔχει καθ' ἡμᾶς νὰ γραφῇ *κασταναῖα* ἢ *Κασταναῖα*, τουτέστι *Κασταναῖα κάρυα* ἤτοι *Κασταναϊκά*.

Ἐλέχθη δ' ὑπὸ τοῦ Θεοφράστου *Κασταναϊκὸν κάρυον* ἐν τῇ περὶ Φυτῶν Ἱστορίᾳ βιβλ. Δ', η', 11 «φλοιὸς δὲ περίκειται περὶ αὐτὴν μέλας ἐμφερὴς τῷ *Κασταναϊκῷ καρύῳ*». Κεῖται δὲ καὶ παρὰ Διοδώρῳ τῷ Σικελιώτῃ βιβλ. Β', ν', 1 «εὐθὺς ὀρυττόμενος εὑρίσκεται τὸ μέγεθος καρύοις *Κασταναϊκοῖς* παραπλήσιος». Ἐν βιβλ. Γ', ιθ', 3 ἔχουσιν οἱ κώδικες «τὸν δὲ καρπὸν ὅμοιον ἔχουσαι τῷ *κασταΐνῳ* καρύῳ». Ἐπηνωρθώθη δὲ μετατυπωθὲν εἰς τὸ *Κασταναϊκῷ* ἐκ τοῦ Ἀγαθαρχίδου παρὰ Φωτ. Βιβλ. σελ. 450, 26 «τὴν δὲ τοιαύτην ἐλαίαν καρπὸν φέρειν φησὶ *Κασταναϊκῷ* καρύῳ προσεμφερῆ». Πρβ. καὶ Συμπληρ. Ἀριστοτ. Τόμ. Α', α', σελ. 44, 17.

Σύνθετον ἐκ τοῦ *κάστανα* ὄνομα εἶνε τὸ *βολβοκάστανα* ἀπαντῶν

